1–21: Proömium: Kabasilas gibt den Grund für das Verfassen des Enkomions an: Er möchte seine Bewunderung dem Heiligen gegenüber wiedergeben und den anderen Gläubigen eine Freude machen, und es wäre unangemessen, wenn Kabasilas kein Lob für den Heiligen schriebe, der den Menschen in der Not so viel beisteht. Kabasilas bittet weiter den Heiligen, ihm zu helfen, um das Lob zu schreiben.

22–54: Kabasilas' Ziel ist es nicht, über Heimatland, Familie und Vorfahren des Andreas zu sprechen. Er möchte diejenigen von ihnen aber loben und bewundert wissen, die ihren Reichtum dazu benutzt haben, den schwächeren Menschen zu helfen und sie glücklich zu machen und die durch ihre Tugenden für den Verlauf von Andreas' Leben verantwortlich waren. Deshalb sind sie nicht wegen ihres Reichtumes zu bewundern, sondern wegen ihres Einflusses auf Andreas.

55–69: Die Kindheit des Andreas.

70–82: Wegen der Liebe zu Christus verlässt er sein Heimatland und seine Familie und geht nach Byzanz, wo er Asket wird. Sein Leben verbrachte er mit Fasten und Gebet.

82–94: Er geht die meiste Zeit nackt und unbeschuht herum, ohne ein Haus und ohne unter einem Dach zu ruhen.

95–122: Die Tugenden des Andreas: Er setzt sich selbst die Besonnenheit zum Anführer. Er führt sein Leben mit dem Verstand, er ist zu den Leidenskämpfen bereit und stellt seine Gefühle unter die vernünftigen Gedanken. Er lebt auch in Demut. Er geht nach Makedonien, Palästina, Jerusalem und in die Wüste.

123–159: Andreas hat die größte der Tugenden, die Liebe gegenüber den Menschen und Gott. Wegen seiner Liebe zu Gott verlässt er alles, sowohl das Heimatland, die Familie und die Freunde und ist bereit, sich für die anderen Menschen zu opfern.

160–175: Er wünschte sich mit Christus zusammen zu sein und tat alles um seinetwillen und nach seinem Beispiel. Er wünschte auch an dem Leiden, der Auferstehung und dem Ruhm Christi teilzuhaben.

176–195: Andreas versucht den Menschen in Palästina zu verkündigen, dass Christus Gottes Sohn ist, und lästert die Religion der Barbaren.

196–228: Verhaftung und Martyrium des Andreas. Trotz Folterung und des Versprechens von Gütern bleibt Andreas unnachgiebig. Die Barbaren beschließen seinen Tod.

229–270: Das Martyrium bis zum Tod.

271–304: Lob des Heiligen. Die Überlegenheit des Andreas anderen Menschen gegenüber.

305–319: Epilog.

2. Ἐγκώμιον εἰς τὸν ἅγιον ὁσιομάρτυρα Ἀνδρέαν, τὸν νέον· ἐν Ἱεροσολύμοις τὸν τοῦ μαρτυρίου δρόμον διηνυκότα.

Ἐγὼ δέ σου – πῶς ἂν εἴποις; – ἐρῶν, ὦ Χριστοῦ μάρτυς Ἀνδρέα· καὶ τὰ σὰ – πῶς οἴει; – μάλιστα πάντων καὶ φιλῶν ἀεὶ καὶ θαυμάζων, καὶ τοῖς σοῖς ἔγνων ἐπιβαλεῖν ἐγκωμίοις, καὶ πρὸς τοὺς ὑπὲρ σοῦ λόγους, καθεῖναι ἐμαυτὸν· ὁμοῦ μὲν, οἷς ἔχω, τὸν περὶ σέ μου τουτονὶ πόθον ἀποδιδοὺς· ὁμοῦ δὲ καὶ χαρίζεσθαι ἔχων, τοῖς εἰς τὴν σὴν τελοῦσι χορείαν, καὶ πρὸς τοὺς σοὺς ἐπαίνους σκιρτῶσι, καὶ τὰ σὰ θαύματα· ἔπειθ’ ὅτι καὶ δεινῶς ἄτοπον, εἰ τοσοῦτον λόγον ἔχων τῶν ἡμετέρων, καὶ ἐν ἅπαντι τῷ χρείας ἱσταμένῳ ⟨λυσιτέλεια⟩ γινόμενος ἡμῖν ἐν καιρῷ, καὶ χεῖρα σῴζουσαν ὑπερίσχων, ἔπειτ’ οὐ κομίσῃ παρ’ ἡμῶν ἀντὶ τουτωνὶ τῶν μεγίστων, ὅσα γε δυναμένων ἐστὶν.

Οὕτω μὲν οὖν ἡμῖν ὁ λόγος, καὶ διὰ ταῦτα· σὺ δὲ θεία καὶ ἱερὰ κεφαλὴ, τήν τε ἄλλην δίδου τύχην καὶ χάριν, καὶ τοῦ παρόντος ἔφαψαι λόγου· οὐ γάρ ἐστιν οὐκ ἔστιν, – «οὐδ’ εἴ μοι» κατὰ τὸν ποιητὴν, «δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ’ εἶεν», – τοὺς ὑπὲρ σοῦ λόγους μετὰ ῥᾳστώνης διενεγκεῖν, σοῦ μέγιστ’ ἀνθρώπων, μὴ συνεφαψαμένου τοῖς λόγοις. Οὐ γὰρ τὸ μὲν· τῶν σῶν πρὸς ἔπαινον φέρει, τό δ’ οὔ· οὐδὲ τὸ μὲν μᾶλλον, τό δ’ ἧττον, ὡς ἐντεῦθεν, ἧττον ἐργώδη τὴν εὐφημίαν εἶναι· ἀλλ’ ὥσπερ εἰς ἀνάγκην δή τινα καταστὰς, διαπάντων τὴν εὐδαιμονίαν ἔχειν ἰοῦσαν, ὥσπερ δήπου συγκεκληρωμένης πᾶσι τοῖς σοῖς, οὕτω πάντα τὰ σὰ, κατὰ πᾶν ἀπήντησε τὸ εἰκὸς· καὶ σοὶ καθάπαξ προσήκει, καὶ πᾶσαν ἐπαίνων ὑπερβολὴν ὑπερβαίνει.

Οὕτω διὰ πάντων νικᾷ· οὐ γὰρ τοιοῦτος μὲν οὗτος, οἷον ἅπαντες ἴσμεν, καὶ τῷ καθ’ αὑτὸν παρὰ πάντας μεθ’ ὑπερβολῆς ἐξεφάνη, τό γε μὴν εἰς πατέρας ἧκον, ἑτέρων ἡττᾶτο, ἢ τούτων μὲν· εὖ ἔχειν ἔσχε καὶ ὡς οὐκ οἶδ’ εἴ τις τῶν πάντων, ἡ δέ γε πατρὶς ἐκείνῳ φαύλη τις ἦν, καὶ μὴ τοιοῖσδ’ ἀνδράσι συμβαίνουσα· ἢ ταῦτα μὲν καλῶς καὶ ὡς προσῆκεν ἐκείνῳ, τἄλλα δ’ εἰς ἔλαττον φέρει, καὶ οὐ τῆς αὐτῆς ἐστιν εὐφημίας αὐτῷ; Ἀλλὰ πάντα καθάπαξ τἀκείνου, ἐκείνῳ τὲ καὶ ἀλλήλοις προσῆκεν· ὡς εἶναι πάντα τῶν ἴσων, καὶ τοῦ αὐτοῦ φασι γυμνασίου· καὶ ἵνα τἄλλα πάντα παρῶ, ὅσα τὲ εἰς πατρίδα φέρει καὶ προγόνους καὶ ἔθνη, εἰ γὰρ καὶ τῶν ἐν ὀφθαλμοῖς τρόπον τινὰ ὄντων, μνησθῆναι βραχέα γένοιτο, καὶ τούτων ὅσα γε πρὸς τὸν παρόντα τείνει λόγον· ἀγαπῴην ἂν, τοὺς αἰτίους ἐκείνῳ τῆς εἰς τὸν βίον προόδου, τίς οὐκ ἂν

B M P

2, 14 οὐδ’ – εἶεν] Hom. *Il.* (Allen 2.489) οὐδ’ εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ’ εἶεν || **28** καὶ[1] – γυμνασίου] cf. e. g. Plat. *Gorgias* (Burnet 493, d.5–6) Φέρε δή, ἄλλην σοι εἰκόνα λέγω ἐκ τοῦ αὐτοῦ γυμνασίου τῇ νῦν.

2, 1–2 Ἐγκώμιον – διηνυκότα] συ βοήθει μοι verbis ante titulum adscriptis in marg. super. M, εὐλόγησον δέσποτα verbis post titulum adscriptis M **9** λυσιτέλεια] addidi **10** ἔπειτ’] an ἔπειτ’ delendum? **19** πᾶσι] πᾶσι post τοῖς σοῖς transp. P **23** καθ’] PMB: καλῶς Papad.-Keram. | αὑτὸν] MB: ἑαυτὸν P **27** τἀκείνου] M: τὰ ἐκείνου PB **29** ἔθνη] MB: ἔθνει P

ἀγασθείη· ἐκείνοις τοίνυν πλούτῳ καὶ δόξῃ, καὶ τῷ γένους εὖ ἔχειν φιλοτιμεῖσθαι περιττῶς ἔχουσιν, οὐχ ἧττον, εἰ μὴ καὶ μᾶλλον τῆς ἐν τούτοις φιλοτιμίας, ἢ καὶ ἐπ' ἀρετῇ καὶ τρόποις χρηστοῖς περιῆν; Καὶ δόξα γὰρ ἐκείνοις καὶ πλοῦτος, καὶ τὸ συγκεχωρηκέναι τῆς τύχης λόγου τινὸς ἄξια κατεφαίνετο, οὐκ ἐφῷ κατεπαίρεσθαι τῶν ἡττόνων, καὶ τῆς ἐλασσουμένης μερίδος· ἀλλ' ἐφῷ μὲν· τοῖς ἀτυχοῦσι χεῖρα ὀρέγειν, καὶ ὅσα γε ἦν δυναμένοις ἐπικουφίζειν, καὶ παραμυθεῖσθαι σφίσι τὰ δυσχερῆ· διαθρύπτειν δὲ πεινῶσιν ἄρτον· καὶ πτωχὸν κατὰ τὸν ψαλμῳδὸν ἐλεεῖν, κἀντεῦθεν ὑπόχρεων ἑαυτοῖς καθιστάναι τὸν τῶν ὅλων θεόν· οὕτω τοίνυν ἀρετῆς καὶ τρόπων χρηστῶν ἐσχηκόσι, καὶ τοῦτ' ἐξ ἀνάγκης ἀπήντα· τυγχάνειν μὲν ἐς ἅπαν εὐμενοῦς τοῦ θεοῦ, πάντων δ' εἰς πεῖραν ἥκειν εὖ μάλα τῶν κατὰ τὸν βίον βελτίστων, καὶ διὰ πάντων εἰς εὐδαιμονοῦντας τελεῖν. Ταῦτ' ἄρα, κἀν ταῖς γοναῖς εὐδοκιμηκέναι τοσοῦτον, καὶ καταλλήλων πᾶσιν οἷς εἶχον ἀγαθοῖς, καὶ τούτων τυχεῖν ὑπῆρξε σφίσιν, ὑπὲρ οὓς ἄν τις καὶ φαίη, καὶ πατέρας γενέσθαι, παιδός, οἷον ἐγὼ οὐδένα οὐ πώποτε εἶδον, ὡς θαυμασθῆναι μὲν ὑφ' ἁπάντων, διὰ τὴν ἐν πᾶσιν ἀγαθοῖς εὐκληρίαν· θαυμασθῆναι δ' οὐδὲν ἧττον, διὰ τὸν παῖδα.

Καίτοι τί λέγω; Τοσοῦτον γὰρ αὐτοῖς ἐκ {τοῦ} παιδὸς τὰ τῶν ἐπαίνων ἐπέδωκεν, ὡς θαυμαστούς τινας οἴκοθεν ὄντας, καὶ τὰ βέλτιστα πᾶσι καὶ δοκοῦντας καὶ ὄντως ἀναφανέντας, πολλῷ θαυμαστοτέρους ἐντεῦθεν φανῆναι, καὶ μείζω δεχομένους ἔπαινον· οὐ γὰρ εἰς κενὴν εἶδε δόξαν Ἀνδρέας κατὰ τοὺς ἄλλους· οὐδ' ἠσπάσατο πλοῦτον τὸν ἄπιστον καὶ δραπέτην· οὐδ' ἄλλων ἔσχε λόγον οὐδένα, τῶν ὅσα τοὺς προστετηκότας, ἀπάγειν οἶδε θεοῦ· ἀλλ' ἐκείνοις μόνοις διὰ βίου παντὸς προσεῖχε τὸν νοῦν, ὅσα τοὺς κατορθοῦντας, κοινωνοὺς οἶδε παρασκευάζειν τῶν Ὀλύμπου πραγμάτων· καὶ θεῷ συνιστάναι, καὶ τοῖς ἀΰλοις καὶ οὐρανίοις ἐξεφαμίλλου χωρεῖν.

Ἀλλὰ μήπω ταῦτα· ἀλλ' ἅ γ' εὐθὺς ἐκ πρώτης ὡς εἰπεῖν τῆς τριχὸς καὶ προοιμίων αὐτῶν κατώρθου, τίνι χρὴ προσθεῖναι τῷ θαύματι; Πάντα μὲν οὖν εὐθὺς τἄλλα, τοῖς ἄλλοις παρῆκεν· οἷς γε παῖδας ὄντας, χαίρειν εἰκὸς· ἐκεῖνα δὲ μόν' ἀξιόχρεω σπουδῆς ἡγεῖτο, ἃ καὶ ἀνθρώπῳ μάλα πρὸς τρόπου, καὶ κεχαρισμένα θεῷ· καὶ ἅ γε μόνα πρὸς ἀρετὴν φέρει, καὶ ἠθῶν εὐκοσμίαν· μείζων μὲν ἁπάσης ὁμηλικίης κατὰ τὸν ποιητὴν· μείζων δὲ προσέτι καὶ ἑαυτοῦ τοῖς ὅλοις φαινόμενος· καὶ τῶν μέν, καθάπαξ ἐν πᾶσι κρατῶν· τοῖς δέ γ' ἐν τοῖς ἐπιλόγοις οὖσιν ἤδη τοῦ βίου· καὶ πολλὰ καμοῦσιν ἐπ' ἀρετῇ, τῶν ἴσων ἀμφισβητῶν· καὶ καθάπαξ εἰπεῖν, παράδειγμα καλοῦ παντὸς καὶ

---

38 πεινῶσιν – ἐλεεῖν] Prov. 22.9 ὁ ἐλεῶν πτωχὸν αὐτὸς διατραφήσεται, τῶν γὰρ ἑαυτοῦ ἄρτων ἔδωκε τῷ πτωχῷ || **51** πλοῦτον – δραπέτην] cf. e. g. Joh. Chrys. *In Eutropium (*PG 52.392.5) Οὐκ ἔλεγόν σοι συνεχῶς, ὅτι δραπέτης ὁ πλοῦτός ἐστι; || **59** μείζων – ποιητὴν] Hom. *Il.* (Allen 13.431–2) […] πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο / κάλλεϊ καὶ ἔργοισιν ἰδὲ φρεσί· […]

---

32 τῷ] PB: τὸ M **33** ἧττον] PB: ἥττων M | ἢ καὶ] scripsi: καὶ ἡ PMB **34** περιῆν] περικυρίου falso legit Papad.-Keram. **38** πεινῶσιν] BP: πεινῶσι M | ἄρτον] ante ἄρτον verbum τὸν add. M **40** ἐσχηκόσι] PMB: ἐσχηκότι Papad.-Keram. **46** δ'] M: δὲ PB **47** τοῦ] seclusi **48** ὄντως] ὄντας PBM: correxi **50** εἶδε] PB: οἶδε M **60** μείζων] ante μείζων verbum μείζων scripsit et circumscripsit B[pc] **61** ἤδη – βίου] βίου ἤδη supra βίου litteram β, supra ἤδη litteram α superscripsit B

τύπος προκείμενος· καὶ ⟨τοὺς⟩ πρὸς αὐτὸν ὁρῶντας πείθων, ὥσπερ εἰς ἀρχέτυπον ἀρετῆς, εὖ τιθέναι τὰ καθ' αὑτοὺς· καὶ τῇ τῶν τρόπων μουσικῇ, πρὸς ἔκπληξιν πάντας ἐνάγων καὶ θαῦμα· καὶ πείθων, πολλοῦ τινος ἀξίαν ἡγεῖσθαι τὴν ἀρετὴν, καὶ τοῦ γ' ὑπὲρ γῆν τε καὶ ὑπὸ γῆν χρυσοῦ, περὶ πλείονος ἄγειν, κατὰ τὸν Πλάτωνος λόγον. Ταύτην τοίνυν οὗτος ὥσπερ σύνοικον ἑλόμενος ἑαυτῷ· καὶ μηδὲν ἡγούμενος τῶν ἁπάντων τοῦ κατ' αὐτὴν πολιτεύειν, οὔθ' ἥδιον, οὔτ' ἀξιώτερον εἰς σπουδὴν, πάντα μᾶλλον καὶ ποιεῖν καὶ πάσχειν ᾑρεῖτο, ἢ ταύτης καὶ μικρὸν ἀποστῆναι.

Διαταῦτα τῶν γονέων γενομένων ἐξ ἀνθρώπων, εὐθὺς ἐκεῖνος, οὐδὲν τῶν ἁπάντων ὑπολογισάμενος ὅλως, οὐ δόξης· οὐ δυναστείας ὄγκον· οὐ πατρώαν οὐσίαν· οὐκ ἄλλο οὐδὲν τῶν τοιούτων· ἀλλὰ πάντα δεύτερα θέμενος τῆς ἀγάπης τοῦ δι' ἡμᾶς τυθέντος Χριστοῦ, καὶ τοῦτον πρὸ πάντων καὶ ἀντὶ πάντων ἑλόμενος· καὶ τῆς ἐκείνου προνοίας τὰ τῆς σωτηρίας ἐξάψας πείσματα, τῆς πατρίδος εὐθὺς ὡς εἶχεν ἀπαναστὰς, πρὸς τὸ Βυζάντιον ἥκει· ἐφῷ πάντων τῶν τοιούτων ἔξω γενόμενος, ἔχει φιλοσοφεῖν τὰ γιγνόμενα· κἀνταῦθα, τρίχα τὲ τέμνει, καὶ πρὸς μονοτρόπους αὐτομολεῖ· καὶ τἀκείνων διὰ πάντων τελεῖται. Καὶ τοίνυν πρῶτα μὲν τῶν γηΐνων πάντων παντάπασιν ἀποστὰς, καὶ πατρίδος καὶ οἰκείων καὶ φίλων ἠλογηκὼς, εἶτα καὶ ἑαυτὸν ἀπαρνεῖται· καὶ τὸν σταυρὸν ἐπ' ὤμων αἴρει, καὶ τῷ Κυρίῳ ἀκολουθεῖ, κατὰ τὰς θείας καὶ σεπτὰς ἐντολὰς· τὸ σῶμα μὲν ὑπωπιάζων καὶ δουλαγωγῶν κατὰ τὴν Παύλου φωνὴν· τὴν δὲ ψυχὴν καθαίρων τὲ καὶ λεπτύνων, καὶ πρός τε θεωρίας ἑτοίμως ἔχειν παρασκευάζων, καὶ τὰ θεῖα πράγματα. Ἐντεῦθεν νηστείας καὶ ἀγρυπνίας, καὶ τῶν ἄλλων τῶν ταυταισὶ συνημμένων ἐπὶ τοσοῦτον ἧκε, καὶ οὕτω πάντας ἐν τούτοις, μετὰ παντὸς τοῦ συγκεχωρηκότος ἐκράτησεν, ὡς μηδένα μὲν ἐπὶ γῆς σχεδὸν τὸν ἁμιλλώμενον ἴσχειν· πρὸς δὲ μόνους τοὺς ἀγγέλους ταυτηνὶ πεποιῆσθαι. Οὐ γὰρ ἡ μὲν προθυμία μεγίστη τίς ἦν καὶ τὸ βούλεσθαι; Ἥ γε μὴν τοῦ κατὰ φύσιν ἀνάγκη παρῃρεῖτο τῆς θαυμασίας ἐκείνης τοῦ μεγάλου σπουδῆς. Ἀλλ' οὕτως ἐκεῖνος ἐν τούτοις εἶχε, καὶ οὕτω μετεχείριζε τὰ τοιαῦτα, ὥσπερ, ἢ μὴδὲ τὴν ἀρχὴν ὄντος σώματος, ἢ ὄντος μὲν, εἰς ἀνάγκην δὲ καταστάντος, μὴ κατὰ φύσιν χωρεῖν, ἀλλὰ τῶν φυσικῶν καθάπαξ ἔξω γενόμενον, τῶν τοῦ Πνεύματος ἔχεσθαι. Ἐντεῦθεν, γυμνὸς μὲν τὸν πλεῖστον περιῄει χρόνον καὶ ἀνυπόδετος· οὐκ οἰκίαν ἔχων· οὐχ ὑπὸ στέγην ἀναπαυόμενος, ἵνα τοι κἀνταῦθα τὸν φίλον μιμήσηται Ἰησοῦν· ψύχει δὲ ἀέρος· καὶ ἡλίου πυρὶ· καὶ νιφάσιν οὐρανοῦ χειμῶνος ὥρᾳ, ὥσπέρ τις στερροτέρα φύσις ἀντεῖχεν, ἢ λήθην ἴσχεν τῆς φύσεως.

Πρῶτον μὲν οὖν σωφροσύνην, τὴν πλείστου ἀξίαν, καὶ μετὰ τῶν ἀγγέλων τοὺς ἀνθρώπους τιθεῖσαν, ὥσπέρ τινα δημαγωγὸν ἐφίστησιν ἑαυτῷ· καὶ τῷ νῷ μὲν, καὶ

66–67 τοῦ – λόγον] Plat. *Leg.* (Burnet 5.728 A) πᾶς γὰρ ὅ τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος. || **78–80** ἑαυτὸν – ἐντολὰς] Mat. 16.24 εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι || **80–81** τὸ – φωνὴν] 1 Cor. 9.27 ἀλλ' ὑπωπιάζων μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι.

---

63 τοὺς] addidi | ὁρῶντας] ὁρῶντας ante πείθων transposui: verbum ὁρῶντας post πείθων habent PMB **71** πατρώαν] M: πατέρων PB **80** ὑπωπιάζων] PB: ὑποπιέζων M **83** τῶν] M: om. PB **85** ταυτηνὶ] PMB: an ταύτῃ scribendum? **94** ἴσχεν] ἴσχων PMB: correxi

τοῖς πάθεσι διαιτᾷ· τίθεται δὲ τῷ νῷ· καὶ τὴν κρείττω δίδωσι ψῆφον· καὶ τὰς μὲν αἰσθήσεις, μὴ πόρρω τοῦ λογιζομένου πίπτειν παρασκευάζει καὶ ἀσφαλοῦς· ἀλλ' ὑπὸ σωφρονοῦντι πρῶτον ταττομένας τῷ λογισμῷ, οὕτω τῷ γ' αἰσθάνεσθαι χρήσασθαι· τῷ δὲ νῷ, τὴν ἀρχὴν ἀποδίδωσι· καὶ τὸ κατὰ φύσιν χωρεῖν, ὡς πάντων ἀνῃρημένον τὸ κράτος πρότερον, οὕτω χρῆσθαι τοῖς πράγμασιν. Ἐντεῦθεν, σωφρονεῖ μὲν ὄψις· σωφρονεῖ δὲ ἀκοὴ· παιδαγωγεῖται δὲ πάντα τὰ αἰσθητήρια. Νόμος δὲ καὶ μέτρον τίθεται πᾶσι, μὴ πᾶσι προσβάλλειν, μηδὲ πάντων αἰσθάνεσθαι· ἵνα μὴ καὶ τῶν χειρόνων, καὶ τῶν ἐξ ὧν ἡ ἀπώλεια· καὶ ἐντεῦθεν, τὸ μὲν φρόνημα τοῦ πνεύματος ἀνυψοῖ· τὸ δὲ φρόνημα τῆς σαρκὸς, ὥσπερ δοῦλον, ὑποπίπτειν παρασκευάζει τῷ πνεύματι· καὶ τοῦ πεφυκότος ἐκστὰν, ἕπεσθαι τῷ λόγῳ, πρὸς ὕψος ἄγοντι.

Καὶ μὴν, οὕτω διὰ πάντων ἐληλακότι, καὶ ταπεινοφροσύνης τοσοῦτος λόγος ἐκείνῳ, καὶ οὕτω καὶ αὕτη τῷ ἀνδρὶ περιῆν, ὡς πάντας μὲν τοὺς ἄλλους ἐν πᾶσι τοῖς ἄλλοις· ἐν δέ γε τούτῳ τῷ μέρει, καὶ ἑαυτὸν παρελαύνειν· ὥσπερ γὰρ μηδὲν πράττων, ὧν γε πράττειν προσῆκεν, ἀλλὰ τοσοῦτον ἀπέχων τῶν ἐπαίρειν εἰδότων, ὅσον μετεῖχεν, οὕτω συντετριμμένην καὶ τεταπεινωμένην τὴν καρδίαν ἔχων κατὰ τὸν ψαλμῳδὸν αἰεὶ διετέλει, καὶ πενθῶν καὶ σκυθρωπάζων διῄει, ὥσπερ οἱ τῶν μεγίστων ἐγκλημάτων ὑπόχρεω· ὅς γε τὰ δέοντα καὶ εἰδὼς τοσοῦτον καὶ πράττων μάλιστα πάντων, ὡς καὶ μυρίοις ἄλλοις μελεδωνὸς σωτηρίας καταστῆναι δύνασθαι, ἔπειθ' ἑαυτὸν ἡγεῖτο, μηδὲ τῶν οἰκείων πραγμάτων προστατεῖν ἀξιόχρεων, ἀλλ' ὑφ' ἕτερον τάττειν ἔγνω, καὶ τούτῳ μόνῳ τὰ τῆς σωτηρίας πιστεύειν. Τοσοῦτος ἦν ἐκείνῳ τοῦ μετρίου λόγος· καὶ οὕτω κἀν τούτῳ, τὸ παρὰ πάντων ἔσχεν ἀφεστηκὸς· τό γε μὴν τῶν πρὸς ἀρετὴν καθηγησομένων ἑκάστοτε δεῖσθαι δοκεῖν, ὥσπερ τῶν γινομένων καθάπαξ ἀσύνετος ὢν, καὶ τῶν κατ' ἀρετὴν ἱδρώτων, ἢ τοῦ παντὸς ἢ τοῦ γε πλείονος ὑστερῶν, καὶ διαταῦτα, νῦν μὲν· εἰς Μακεδονίαν· νῦν δ' εἰς Παλαιστίνην καταίρειν ⟨βούλεται⟩, νῦν δὲ τὰ Ἱεροσόλυμα καὶ τὰς ἐρήμους περιιέναι, ἀλλὰ ταῦτα γε, ποίας οὐκ ἂν εἴη ταπεινοφροσύνης ἐναργῆ δείγματα;

Οὕτως οὐκ ἦν οὐδὲν τῶν βελτίστων, ὃ μὴ περιῆν τῷ ἀνδρὶ. Καὶ μὴν· καὶ ἀγάπην, τὴν μεγίστην ἴσμεν τῶν ἀρετῶν, καὶ κεφάλαιον νόμου καὶ προφητῶν· καὶ οὕτω βελτίω τῶν ἄλλων, καὶ τοῦ παντὸς θεῷ τιμωμένην, ὡς πάντα τἄλλα ὅσα τοῖς ἀνθρώποις παρὰ θεοῦ γίνεται, τῷ μηδὲν ὅλως εἶναι ταύτης ἀπούσης· εἴτε γλώσσάς τινας φήσεις, εἴτε χαρίσματα ἰαμάτων κατὰ τὸν θεῖον ἀπόστολον. Ταύτης δὲ εἰς δύο διαιρουμένης, εἴς τε θεὸν καὶ ἀνθρώπους, οὐκ ἂν ἔχοις εἰπεῖν ἐν ὁποτέρῳ τούτων

123–124 Καὶ – προφητῶν] Mat. 22.37–40 ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. δευτέρα δὲ ὁμοία αυτῇ· ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν. ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. || **126–127** γλώσσάς – ἀπόστολον] 1 Cor. 12.9–10 ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων [...] ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν

---

101 ὄψις] ὄψις ex ὀφθαλμὸς scr. B^{pc} **111** μετεῖχεν] PMB: an μετέχων scribendum? **112** αἰεὶ] M: ἀεὶ PB | σκυθρωπάζων] PB: κυθρωπάζων M **115** πραγμάτων] M: om. PB **118** γε] om. PB **121** βούλεται] addidi **126** τῷ μηδὲν] M: το_μηδὲν BP

μᾶλλον τῶν ἄλλων Ἀνδρέας κρατεῖ, καὶ ᾧ μειζόνως ἐκλάμπει. Τοῖς μὲν οὖν ἀνθρώποις οὕτως ἐχρῆτο, καὶ οὕτω τῶν ἰδίων τὰ τῶν ἄλλων περὶ πλείονος ἦγε, καὶ τοῖς ὅλοις προυτίθει, ὡς μὴ μόνον μηδενὶ διὰ βίου παντὸς εἰς ἔχθραν ἥκειν ποτὲ, ἀλλὰ καὶ πάντας, μόνον οὐχ ὑπὲρ κεφαλῆς αἴροντα φαίνεσθαι· – ὡς καὶ πάντας ἔχειν οὕτω φιλοῦντας, καὶ οὕτω τῶν ἐκείνου πραγμάτων προκινδυνεύοντας, καὶ πάντα δεύτερα τοῦ κατ' αὐτὸν τιθεμένους, – ὡς ἡδέως ἂν ὑπὲρ τούτων καὶ τὴν ψυχὴν αὐτὴν ἑλέσθαι προέσθαι.

Ὁ δὲ τὰ πρὸς ἀνθρώπους τοιοῦτος, καὶ τοῦτον ἴσχων τὸν τρόπον, πηλίκον δεῖ τοῦτον νομίζειν ἐν τοῖς θείοις αὐτοῖς; τίς μὲν οὖν τοσοῦτον ἠγαπήκει θεὸν, ὥσθ' εἵνεκ' αὐτοῦ, καὶ πατρίδα καὶ οἰκείους καὶ φίλους· καὶ τοὺς γινομένους καθ' αἷμα, καὶ πάντα περὶ ἐλάττονος θέσθαι· καὶ πρὸς ἄλλο μὲν μηδέν τι τῶν πάντων· πρὸς δ' ἐκεῖνον μόνον τὴν ἐπιθυμίαν ἑκάστοτε τείνειν, κἀκείνῳ μόνῳ καὶ ζῆν καὶ κινεῖσθαι καὶ εἶναι, τοῖς ἄλλοις πᾶσι χαίρειν εἰπόντα· τό γε μὴν ὑπὲρ ἐκείνου πάντα πόνον αἱρεῖσθαι, καὶ πάσης ἄγειν ἑορτῆς ἡδίω ⟨τῆς ἀσκήσεως⟩ τὰ σκάμματα, καὶ πᾶσι μὲν ἐπιβάλλειν καὶ παρὰ πᾶν τὸ ἐξὸν· ἔπειτα· μηδέν τι πράττειν ἡγεῖσθαι, ἢ πράττειν μὲν, ἀλλὰ τῆς προθυμίας ἐλάττω· ἢ τῆς μὲν προθυμίας ἀξίως, τῶν πραγμάτων δὲ οὐκ ἀξίως, καὶ ταῦτα τοίνυν, πῶς οὐ μεγίστου πόθου περὶ θεὸν, ὥς γε ἐγὼ γινώσκω; Οὐ μὴν· ἀλλ' εἰ καὶ τῆς τελεωτάτης ἀγάπης, καὶ ἧς οὐκ ἄν τι μεῖζον εὕροι τις ἂν, ἀπόδειξις ἐναργὴς κατὰ τὸν θεῖον χρησμὸν, τὸ, καὶ ψυχῆς μηδένα λόγον ἴσχειν, οἷ δεῖ τῶν φίλων προκινδυνεύειν, ἀλλὰ καὶ ταύτην ἑτοίμως ἔχειν προέσθαι ὑπὲρ τῶν ἐκείνοις λυσιτελούντων, ἧπου πρὸς αὐτὴν ἥκει τῆς ἀγάπης τὴν κορυφὴν ὁ ἀνὴρ, οὕτω μὲν διὰ βίου παντὸς τῷ περὶ Χριστὸν ἔρωτι νεκρῶν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, οὕτω δὲ τελευτῶν καὶ τὴν ψυχὴν ὑπὲρ ἐκείνου θεὶς, μετὰ πολλὰς μὲν βασάνους, πολλὰ δὲ τῆς ἀσκήσεως σκάμματα. Οὕτως ἐκεῖνος πρός τε θεὸν πρός τ' ἀνθρώπους εἶχε, καὶ δι' ἑκατέρων, τὸν τῆς τελείας ἀγάπης ὅρον ὡς ἀληθῶς ἐν ἑαυτῷ βεβαιοῖ. Καίτοι· εἰ τὸ ταύτην μόνην ἀσκεῖν, ἑτέρωθεν δὲ μηδαμόθεν ἔχειν ἐγκαλλωπίζεσθαι, πολλοῦ τινος ἄξιον, τὸ καὶ ταυτησὶ καὶ συμπάσης ἄλλης ἀρετῆς, μεθ' ὑπερβολῆς ἐπ' ἔσχατα ἥκειν, πῶς οὐκ εἰκότως τῶν μεγίστων ἂν ἀξιοῖτο, καὶ παρὰ πάντων ἐν τῷ τοῦ καλοῦ καὶ δικαίου λόγῳ, σχοίη τὸ συγκεχωρηκὸς; Οὕτως ὦ θεία καὶ ἱερὰ κεφαλὴ διὰ πάντων τῶν βελτίστων, καὶ παρὰ θεῷ καὶ ἀνθρώποις μεγάλων ἀξιουμένων πραγμάτων, μετὰ πολλοῦ τοῦ μείζονος ἧκες, καὶ κατὰ πάντων ἐν τούτοις τὸ κράτος εἴληφας.

Ἀλλὰ γὰρ καιρὸς ἤδη διεξιέναι, τούς τε μεγίστους καὶ ὑπερφυεῖς τοῦ ἀνδρὸς ὑπὲρ εὐσεβείας ἀγῶνας, καὶ τὴν διὰ μαρτυρίου καὶ αἵματος τελευτήν· καὶ δεῖξαι κἀνταῦθα, μὴ μόνον πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ καὶ πρὸς ἀρχὰς καὶ πρὸς ἐξουσίας,

140–141 κἀκείνῳ – εἶναι] Act. 17.28 ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν || **146–147** τελεωτάτης – χρησμὸν] Joh. 15.13 μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. || **150** νεκρῶν – γῆς] Col. 3.5 Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς **162** πρὸς[1] – ἐξουσίας] Eph. 6.12 ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας

142 τῆς ἀσκήσεως] addidi: cf. infra 2.151-152 **146** ἂν] an ἂν delendum? **153** ἐν ἑαυτῷ] M: om. PB

μετὰ πολλοῦ τοῦ περιόντος ἀγωνιζόμενον, καὶ νικῶντα καὶ στεφανούμενον· ἁπάσης γὰρ γεώδους καὶ ὑλικῆς προσπαθείας παντάπασιν ἀποστὰς· καὶ τὴν ψυχὴν ἀπειλικρινημένην καὶ καθαρὰν τῆς ἐντεῦθεν ἀχλύος παρασκευάσας, τῷ μηδὲν ὅλως τῶν εἰς τοῦτο φερόντων ἔξω καταλιπεῖν ἑαυτοῦ, καὶ τοῦ κατ᾽ αὐτὸν βουλομένου, ἐπόθει καὶ τὴν ἀνάλυσιν· καὶ τῷ καθαρῷ καθαρῶς συγγενέσθαι Χριστῷ· ἵν᾽ ὥσπερ ἄρα τοῦ πάθους, οὕτω καὶ τῆς ἀναστάσεως καὶ τῆς δόξης, κοινωνὸς αὐτῷ κατασταίη.

Ποθοῦντι δὲ, οὐκ εἰκός γε ἐδόκει, τὴν ἑπομένην τῇ φύσει μοῖραν ἀποσκοπεῖν, ὡς δὴ κατά τινα ξυντυχίαν, καὶ τῆς τελευτῆς πεπειρᾶσθαι· ἀλλ᾽ ὥσπερ παρὰ τὸν ἅπαντα χρόνον, πάντα τἆλλα κατὰ Χριστὸν ἐποίει καὶ διὰ Χριστὸν· καὶ πάντα κατὰ τὴν ἐκείνου γνώμην ἐδημαγώγει, καὶ νοῦν· καὶ βίον· καὶ πρᾶξιν· καὶ γλῶσσαν· καὶ αἴσθησιν, μέχρι καὶ σχήματος καὶ βαδίσματος. Οὕτως ᾠήθη δεῖν ἐπαγαγεῖν καὶ τὴν τελευτὴν· καὶ ὑπὲρ αὐτοῦ καὶ τοῦτο παθεῖν· ἵνα καὶ διὰ πάντων ἄριστος ᾖ, ἐκ κεφαλῆς εἰς πόδας τὸ γιγνόμενον σῴζων.

Δηλώσει δ᾽ ὁ λόγος· τοῖς περὶ τὴν Παλαιστίνην βαρβάροις, εἰς τοσοῦτον ἀνοίας ἐληλακόσιν, ὡς θεὸν μὲν καταλιπεῖν τὸν ποιήσαντα, καὶ τὸ φρονεῖν ἃ τούτου πέρι καὶ φρονεῖν καὶ λέγειν προσῆκεν, ἀνδρὶ δέ τινι κακοδαίμονι, ὅσα καὶ μεγίστῳ νομοθέτῃ προσέχειν, καὶ μετὰ Μωσέα τὸν πάνυ, ὥσπέρ τινι δευτεραγωνιστῇ τῶν νόμων τῷ κάκιστ᾽ ἀπολουμένῳ κεχρῆσθαι, τὴν μὲν θείαν καὶ ὑπερφυᾶ τῆς τῶν ἀνθρώπων σωτηρίας οἰκονομίαν ἀθετοῦντι καθάπαξ· νόμους δέ τινας παρὰ τοὺς θείους νόμους τιθέντι, παθῶν αἰσχίστων συνηγόρους καὶ προστάτας ἐπιεικῶς, τούτοις τοίνυν οὕτως ἔχουσι ὥσπερ δυσχεράνας ὁ μέγας, ἐκκλησιάζουσί ποτε καὶ θύουσιν ἐπιστὰς, ἐπειδήπερ ἑώρα· ἐὸν κακὸν ἀμφαγαπῶντας κατὰ τὸ ἔπος· καὶ τὴν ἑαυτῶν ἐξώλειαν δι᾽ ἡδονῆς ἐπισπεύδοντας, τοῦτο μὲν κατελεήσας ἐκείνους, τοῦτο δὲ καὶ τοῦ διὰ Χριστὸν ἐκχέαι τὸ αἷμα, εἰς ἔρωτα – πῶς οἴει; – διάπυρον καταστὰς, Χριστὸν μὲν ἀνακηρύττει, {ὡσεὶ} θεοῦ υἱὸν ἐόντα· εἰς δὲ τὴν βαρβάρων ὑβρίζει θρῃσκείαν· τοὺς δὲ, ἠπατημένους ἀποκαλεῖ· οὕτω μὲν τὴν τοῦ θεοῦ ὁδὸν τὴν εὐθεῖαν καταλιπόντας, οὕτω δὲ τὴν πρὸς ἀπώλειαν ἄγουσαν ἑλομένους· μηδ᾽ ἡγουμένους Χριστὸν τὸν σταυρωθέντα, θεὸν, ὃν θεὸν ἡγεῖσθαι μάλιστ᾽ ἐχρῆν, καὶ τοῦ παντὸς τοῦδε δημιουργὸν· καὶ ὁ μὲν, οὕτω δήπου τοῦ περὶ Χριστὸν πόθου τὸ πῦρ κατέχειν οὐκ ἔχων, καὶ λέγων ἄρα καὶ πράττων ἦν, τοῦτο μὲν ὑπὲρ αὐτοῦ θανατῶν, τοῦτο δὲ καὶ συναχθόμενος αὐτῷ, τῆς παρὰ τῶν ἀσεβούντων ὕβρεως· ἐκείνῳ γὰρ κατὰ Παῦλον, τὸ μὲν ζῆν ἐν Χριστῷ καὶ κατ᾽ ἐκεῖνον δήπου καὶ δι᾽ ἐκεῖνον· τὸ δὲ δι᾽ αὐτὸν ἀποθανεῖν, κέρδος, τοῦ παντὸς τιμώμενον.

179–180 ὥσπέρ – κεχρῆσθαι] allusio ad Aristoph. *Pax* (Wilson 2) [...] δὸς αὐτῷ, τῷ κάκιστ᾽ ἀπολουμένῳ· || **184** ἐὸν – ἔπος] Hesiodi *Op*. (Solmsen V. 57–58) ἅπαντες / τέρπωνται κατὰ θυμὸν ἐὸν κακὸν ἀμφαγαπῶντες || **188–189** τὴν[1] – καταλιπόντας] Act. 13.10 οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας; Pet. 2.15 καταλίποντες εὐθεῖαν ὁδὸν ἐπλανήθησαν || **189** τὴν – ἄγουσαν] Mat. 7.13 ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν || **193–194** ἐκείνῳ – ἐκεῖνον[2]] Gal. 2.20 ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· [...]

---

165 τῷ] PMB: cf. etiam 2.165 **169** γε] M: om. PB **170** δὴ] M: om. PB **174** καὶ[3]] PB: om. M **183** ἔχουσι] ἔχουσιν M | δυσχεράνας] ante ὥσπερ verbum δυσχεράνας transp. PB **187** ὡσεὶ] seclusi

Τοῖς δὲ βαρβάροις ἐπὶ τοῖς λεχθεῖσι καὶ τῇ θαυμαστῇ παρρησίᾳ τοῦ ἀνδρὸς, δέον ἐκπλήττεσθαι καὶ θαυμάζειν, καὶ πείθεσθαι, τὰ δέοντα καὶ συνευχομένῳ σφίσι καὶ συμβουλεύοντι, τοῖς δὲ, ὀργισθεῖσιν, – ἀσπίδες γὰρ ἦσαν τοῦ κακούργου ὄφεως μαθηταὶ τὰ ὦτα βύοντες, καὶ μισοῦντες ἔλεγχον ἐν πύλαις κατὰ τὸν ψαλμωδὸν, – εἰς βασάνους ὁρᾶν ἐπῄει, καὶ ὅπως ἂν τὸν ὑβρικότα ἀμύνοιντο. Δεσμὰ μὲν οὖν εὐθὺς τὸν μάρτυρα εἶχον καὶ κολαστήρια, χάριτας ὁμολογοῦντα θεῷ· καὶ σάρξ μὲν διελύετο· καὶ διασκεδαννυμένη, τὸν ἀέρα ἐπλήρου· πολὺν ἐντιθεῖσα φόβον τοῖς τοῦ ἀέρος ἄρχουσιν· ἔρρει δὲ ὡς ἀπὸ πηγῆς τὸ αἷμα· τὸ σῶμα ἐκεῖνο τὸ θεῖον, ἐρυθρὸν ἀποφαῖνον καθάπαξ· καὶ τῆς σαρκὸς ἐκλιπούσης, ἀντὶ σαρκὸς γινόμενον· δήμιοι δὲ ἠτόνουν· καὶ φανερῶς ἡττῶντο τῆς ἀνδρίας τοῦ μάρτυρος, καὶ τῆς ὑπερφυοῦς καρτερίας· ὁ δὲ, ὥσπερ μηδενὸς εἰς πεῖραν ἥκων τῶν δυσχερῶν, οὕτω διέκειτο· δεικνὺς διὰ τούτων, ὡς οὐδέν τι τῶν πάντων τοῦ περὶ Χριστὸν ἀποστήσει πόθου· ἀλλὰ κἂν τὰ πάντων δεινότατα ἀπειλῆται· κἂν ὁ Φαλάριδος ταῦρος, κἂν ὅτι ἂν εἴποι τις, οὐδὲν μᾶλλον ὑφεῖναι πείσει τοῦ περὶ ταῦτα τόνου, καὶ τῆς μεγίστης ὑπὲρ εὐσεβείας ἐνστάσεως. Καὶ ἑώρα μὲν σάρκας διαρρυείσας· ἄρθρα διαλυόμενα· αἷμα καταρρέον· ἀνασπωμένους ὄνυχας· καὶ ὁρῶν ὁ γεννάδας ὡς ἀληθῶς, καὶ σιδήρου παντὸς στερρότερος, οὐδὲν οὐδ’ ὁπωσοῦν πρὸς ταυτὶ τὰ δεινὰ δυσανασχετῶν, ὁ δὲ, καὶ χάριτας εἰδέναι τοῖς ἐπενεγκοῦσι καθωμολόγει, καὶ χεῖρας φανερῶς αἴρων ὑπὲρ ἐκείνων, καὶ τὰ βέλτιστα σφίσι συνευχόμενος ἑωρᾶτο, κατὰ τὸν ποθούμενον Ἰησοῦν· ὃν εἰρηνικὸν ᾔδει καὶ πρᾶον, εἰς εὐεργετοῦντας τοὺς κακουργοῦντας τιθεὶς· μᾶλλον δὲ, οὐδὲ κακουργοῦντας τούτους εἰδὼς· ἀλλὰ τῶν μάλιστα πάντων ἐκείνῳ κεχαρισμένων, προξένους, ἠμείβετό τε τῶν παιδικῶν, καὶ πρὸς ανάγκην, τὰ εἰκότα γε ἀπεδίδου. Οὕτω μὲν μετανιστᾶσι ταχέως τῶν κάτω, καὶ ὧν ἀπαλλάξαι – πῶς δοκεῖς; – ἐκ πλείονος ἤρα, οὕτω δὲ πρὸς τὸν ποθούμενον Ἰησοῦν, καὶ ὑπὲρ οὗ τὰ πάντα καὶ ἐποίει καὶ ἔπασχε παραπέμπουσι.

Κὶ ὁ μάρτυς μὲν, οὕτω δήπου πάσης ἑορτῆς ἡδίους καὶ ποθεινοτέρας τὰς ὑπὲρ Χριστοῦ βασάνους ἡγεῖτο· καὶ οὕτως εἶχε πρὸς τὰ ὑπὲρ ἐκείνου δεινὰ· παντὸς Ἀναξάρχου μᾶλλον ἐν τοῖς δυσχερέσι φιλοσοφῶν, καὶ περὶ τὰ δεινὰ δήπου τὰ γιγνόμενα σῴζων, καὶ μάλα σαφῶς βεβαιῶν, ὡς μόνῳ ⟨ἐν⟩ τῷ Χριστῷ καὶ ἦν, καὶ ἔζη, καὶ ἐκινεῖτο· οἱ δ’ ἀσεβοῦντες ἀπειρηκότες καθάπαξ· πάντα μὲν καὶ λέγοντες καὶ ποιοῦντες, ἀνύσαι δὲ μηδὲν ἔχοντες, – πάντα γὰρ περὶ οὐδενὸς ἦν ἐκείνῳ τῆς

198–199 ἀσπίδες – ψαλμωδὸν] Ps. 57.5 θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς; Am. 5.10 ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα καὶ λόγον ὅσιον ἐβδελύξαντο || **208** Φαλάριδος ταῦρος] allusio ad. *Apostolii cent.* XVII, 78 (Leutsch, *Corp. Paroem.* II, 706–707) || **222–223** παντὸς Ἀναξάρχου] allusio ad Diog. Laert. *Vitae philos.* (Long 9.58–60) **224–225** ὡς – ἐκινεῖτο] Act. 17.28 ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν

196 τῇ] M: om. PB **203** ἔρρει] PMB: ἐρρύη Papad.-Keram. | ὡς] M: om. PB | τὸ θεῖον] ante ἐκεῖνο verba τὸ θεῖον transp. PB **209** πείσει] MPB: πείθει Papad.-Keram. **215** εὐεργετοῦντας] post εὐεργετοῦντας verbum καὶ add. Papad.-Keram. | τοὺς] PMB: del. Papad.-Keram. **217** γε] BM: om. P **218** ταχέως] M: om. PB **219** τὰ] om. MB **224** ἐν] addidi

εὐσεβείας ἀντεχομένῳ, καὶ ἀγαθῶν ἐπαγγελίαι καὶ βάσανοι, – θάνατον καταψηφίζονται τοῦ ἀνδρὸς.

Τὸν μάρτυρα μὲν οὖν εἶχε τὸ δεσμωτήριον· χαίροντα μὲν καὶ συγχαίροντα ἑαυτῷ, τοῦ διὰ Χριστὸν παθεῖν, καὶ ὅσον οὔπω τεθνήξεσθαι· χάριτας δὲ πολλὰς εἰδότα θεῷ, τῆς καλῆς ταύτης εἵνεκα ψήφου, καὶ διὰ πάντων ἐκείνῳ κεχαρισμένης· τοῖς δὲ φονῶσιν ἐκείνοις, ἵνα μηδεὶς ἔτι τῶν ἁπάντων εἰς τοῦτο τόλμης ἀφίκοιτο, μηδ' ἐξῇ μηδενὶ, εἰς τὴν ἐκείνων ὑβρίζειν θρῃσκείαν, εἰκός γε ἐδόκει καὶ μάλα συμβαῖνον τοῖς πράγμασιν ἑαυτῶν, πρῶτον ἁπάντων τῶν κατὰ τὴν πόλιν ἀπὸ κοινοῦ γενομένων, οὕτω τὸν ἄνδρα τὸν θάνατον ὑποσχεῖν· καὶ θεωμένων καὶ ἀκουόντων, ἅ τε ἔδρασε, καὶ ἣν τῆς τόλμης δίδωσι δίκην. Ἐπεὶ δὲ ἐκήρυττον μὲν ἐκεῖνοι· πάντες δὲ ἤδη παρῆσαν, καὶ ὅσοι τῶν ἡμετέρων καὶ ὅσοι τῶν ἔξωθεν· καὶ πλῆρες μὲν τὸ θέατρον ἦν· τετρήχει δ' ἀγορὴ· ὑπὸ δὲ στοναχίζετο γαῖα, εὐτρεπῆ δὲ ἤδη καὶ ξίφη, καὶ χεῖρες δημίων ἦσαν, ἐπεὶ ταῦτα ἦν, ἐξήγετο τοῦ δεσμωτηρίου ὁ μάρτυς, ἡ τῆς Ἐκκλησίας ὑπόθεσις· ὥσπερ νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ εἶπεν ἂν ὁ θεῖος Δαυὶδ, μετὰ φωνῆς ἀγαλλιάσεως ᾄδων, «Σοὶ πρέπει ὕμνος ὁ θεὸς ἐν Σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλὴμ»· μηδὲν φόβου σύμβολον ὑποφαίνων· ὥσπερ εἰς ἑορτὴν, οὐχὶ πρὸς θάνατον ἥκων· ὅλος γὰρ ἐγεγόνει τῶν οὐρανίων· καὶ Χριστὸν μόνον ἑώρα· Χριστῷ ξυνέχαιρεν· ἐκείνου μόνου καὶ τῶν ἐκείνου, καὶ πρὸ τῆς ἐκδημίας καταπολαύων. Οὕτως ὁ περὶ Χριστὸν ἔρως· ὑπὲρ τὴν φύσιν αὐτὸν ἐτίθει· καὶ τουτονὶ μόνον φαντάζεσθαι παρεσκεύασε.

Καὶ μέσος μὲν γίνεται τοῦ θεάτρου· αἴρει δὲ χεῖρας ὁσίας εἰς οὐρανὸν· καὶ τὸν θεὸν εἰς συμμαχίαν ἐξεκαλεῖτο· καὶ παρεῖναι ἐδεῖτο, ἐφῷ τὸν ἀγῶνα θεῖναι ῥᾷστον ἀνύσαι. Καὶ ὁ μὲν, παρῆν· – πῶς γὰρ οὐκ ἔμελλε; – καὶ χάριτος πληροῖ τὸν ἀθλητὴν· καὶ ἀλείφει πρὸς τὸν ἀγῶνα· ὁ δὲ, τυχὼν εὖ μάλα τῶν ἐν ταῖς εὐχαῖς ποθουμένων, χάριτας τῷ φίλῳ καθωμολόγει θεῷ, τῆς ταχίστης ταύτης ἐπικουρίας. Καὶ πρῶτα μὲν, κατὰ τοῦ γλουτοῦ· εἶτα κατὰ τῆς γαστρὸς δέχεται τὴν πληγὴν· καὶ τῶν ἔνδον εὐθὺς ἐκρυέντων, ὁ γεννάδας ἐκεῖνος, τοσοῦτον ἀπέσχε τοῦ καὶ ὁπωσοῦν τούτοις καταβεβληκέναι τὸ φρόνημα, ὥστε καὶ κόλπον μὲν ὑπέχει τοῖς ἐκρυεῖσι· χεῖ δὲ πάντα κατὰ τῆς κεφαλῆς· ὡς ἂν οἶμαι καὶ ὁ ἀθλητὴς ἄνωθεν καθαγιασθῇ, καὶ ἣν εἶχεν ὑπεροψίαν τῶν σαρκικῶν πάντων ἀναφανῇ· καὶ ὡς οὐδὲν ἦν ἐκείνῳ πρὸς λόγον, ἃ μέλει πᾶσιν, οἷς ὁ θεὸς ἡ κοιλία, τὸ πολίτευμα ἐν οὐρανοῖς ἐσχηκότι. Καὶ τὸ θέαμα πάντας εὐθὺς τοὺς ὁρῶντας, ὅσοι φημὶ τῆς καθ' ἡμᾶς ἦσαν φατρίας, πρὸς ἔκπληξιν ἐνῆγε καὶ

238 τετρήχει – γαῖα] Hom. *Il.* (Allen 2.95) τετρήχει δ' ἀγορή, ὑπὸ δὲ στεναχίζετο γαῖα || **240** ὥσπερ – Δαυὶδ] Ps. 18.6 … καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ. || **241–242** Σοὶ – Ἱερουσαλὴμ] Ps. 64.2 Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ. || **257** οἷς – ἐσχηκότι] Philip. 3.19–20 … ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες! ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει

234 ἑαυτῶν] PB: ἑαυτῷ M **235** οὕτω] M: om. PB **238** εὐτρεπῆ] M: εὐπρεπῆ BP **244** ξυνέχαιρεν] ξυνέχαιρε PM **251** τῷ φίλῳ] M: om. PB **256** ἀναφανῇ] P: ἀναφανείη MB | μέλει] PB: μέλλει M

θαῦμα, ⟨ὡς⟩ καὶ χαίρειν μὲν καὶ συγχαίρειν ἐκείνῳ ταυτησὶ τῆς φορᾶς, τὸν δὲ τῶν θαυμασίων ὑμνεῖν ὡς εἰκὸς θεὸν· ὥστε γε κατὰ τὸν Δαυὶδ, εὐλογεῖν καὶ πάντα τὰ ἐντὸς ἐκείνου, τὸ ὄνομα τὸ ἅγιον τοῦ θεοῦ.

Οὕτως εἰς καρτερίας λόγον, καινόν τι χρῆμα τὸ κατ' αὐτὸν, ἀνεφάνη τῷ βίῳ. Εἶθ' ἑτέρα πάλιν πληγὴ· καὶ τὸ μὲν σῶμα πίπτει, φυσικαῖς εἶξαν ἀνάγκαις, εἰ καὶ μεῖζον τοῖς ὅλοις ἀνεφάνη τῶν φυσικῶν, διὰ πάντων καθάπαξ ὑπὲρ ταύτην γενόμενον. Εἶτα καὶ πυρὸς γίνεται ἔργον· καὶ προσάγεται τῷ θεῷ, θυσία ζῶσα· ἁγία· εὐάρεστος· πάσης νομικῆς ἱερουργίας ἱερωτέρα τε καὶ καθαρωτέρα. Τὴν δὲ ψυχὴν, αἱ φίλαι χεῖρες εἶχον τοῦ Ἰησοῦ· πολλὰ ὑπὲρ ἐκείνου καὶ τῆς ἐκείνου δόξης καὶ ἀγάπης καμοῦσαν. Καὶ νῦν ἐκείνῳ συνοῦσα, καὶ τῶν ἐκείνου χαρίτων ἀμέσως καταπολαύουσα, καὶ ταῖς ἐκεῖθεν ἀκτῖσιν ὅλη φωτοειδὴς γεγονυῖα, ἔστη καὶ τῶν πόνων καὶ τῆς ἐφέσεως· ἄνωθεν ἐποπτεύουσα τὰ ἡμέτερα, καὶ τὰ βελτίω συνευχομένη.

Ἀλλ' ὦ θεία καὶ τριπόθητε κεφαλὴ, καὶ μάλιστα πάντων, τῇ μεγίστῃ καὶ φίλῃ κεχαρισμένος Τριάδι, ἅτε καὶ μάλιστα πάντων, τὰ ταύτης περὶ πλείονος ἄγων τῶν ἄλλων· ὦ καὶ παρὰ τὸ εἰκὸς τῆς φύσεως τοῖς πόνοις ἐπιβαλὼν, καὶ μείζω τῶν πόνων παρὰ θεοῦ δεδεγμένος τὰ γέρα· ὦ τῶν ἀσκητικῶν ἱδρώτων, ὅρος καὶ τύπος πᾶσιν ἀναφανεὶς· ὦ τοῖς σαυτοῦ μέλεσι δοξάσας θεὸν, καὶ ὑπὲρ αὐτοῦ τὸ αἷμα ἐκχέας, καὶ νῦν μειζόνως ὑπ' αὐτοῦ δοξαζόμενος· ὦ διὰ πάντων ἄριστε σὺ, καὶ ὑπὲρ τὰ εἰκότα θεοφιλὴς, ἅτ' οὐκ ἄλλό τι τῶν πάντων, οὐδὲ τὴν ἐκ στεάτων θυσίαν, ἀλλ' ἑαυτὸν προσαγαγὼν τῷ παρηχότι θεῷ, πότερον τῶν σῶν ἄν τις ἀπολαβὼν ἐπαινέσαι, οὐχὶ τῆς ἀξίας ἐγγὺς, ἀλλ' ὅσον μὴ τῶν εἰκότων παντάπασιν ἐκπεσεῖν· τὸν μέγιστον καὶ ὑπερφυᾶ, καὶ τοῦ πεφυκότος ἔξω θαυμαστὸν κατὰ φιλοσοφίαν ἀγῶνα, ὃν εὐθὺς ἐκ παιδὸς εἵλου, καὶ διὰ βίου παντὸς κατώρθωσας, ἢ τὴν μείζω καὶ θαυμασιωτέραν ὑπὲρ εὐσεβείας ἔνστασιν, καὶ τοὺς ὑπερφυεῖς ἐκείνους ἀγῶνας, καὶ τὴν διὰ μαρτυρίου καὶ αἵματος τελευτὴν· ⟨ὡς⟩ καὶ τὸ, οὕτω διὰ πάντων ἐληλακότα, καλὴν ἐπενεγκεῖν καὶ τὴν κορωνίδα, καὶ μάλα προσήκουσαν, μᾶλλον δὲ καὶ μείζω πολλῷ, δευτέρων φασὶν ἀμεινόνων;

Ἀλλ' ἐν τούτοις μὲν οὖν, εἰ καὶ μὴ πολλοὺς, ἀλλ' οὖν παραπλησίους δή τινας σχοίης, καὶ τῶν ἴσων αμφισβητοῦντας. Τὸ δ' οὕτω μηδενὸς ὄντος τοῦ βιαζομένου, πρὸς τὸν ὑπὲρ εὐσεβείας θάνατον κεχωρηκέναι, καὶ οὕτω πρὸς τὰς ἐπαγομένας βασάνους ἴσχειν ἀνδρείως, ὡς ὁρᾶν μᾶλλον ἢ πάσχειν ταῦτα δοκεῖν, καὶ οὕτω μὲν τῶν ἀσεβούντων, οὕτω δὲ καὶ τῶν τῆς φύσεως ἀναγκῶν εὖ μάλα περιγενέσθαι, καὶ κρείττω τοῖς ὅλοις ἑκατέρων ἀναφανῆναι, τίνι τῶν πάντων οὕτω κατώρθωται, καὶ

260–261 ὥστε – θεοῦ] Ps. 102.1 Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καὶ πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ· || **265** προσάγεται – εὐάρεστος] Rom. 12.1 παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσα, ἁγίαν, εὐάρεστον τῷ Θεῷ || **284–285** δευτέρων – ἀμεινόνων] Plat. *Leg.* (Burnet 4.723 d–e) οἷόν φασιν οἱ παίζοντες, ἀμεινόνων ἐξ ἀρχῆς δευτέρων ἐπαναπολήσωμεν, [...]

259 ὡς] addidi **260** κατὰ] ante κατὰ verbum καὶ add. P **269** ἔστη] an ἔστι scribendum? **270** ἐφέσεως] post ἐφέσεως an εἵνεκα scribendum? **283** τελευτὴν] τελετήν scripsit Papad.-Keram. | ὡς] addidi | καὶ[2]] om. BP **291** ἑκατέρων] M: om. PB

οὕτως ὑπερφυῶς, ὥσθ’ εἵνεκα τούτων, παραβεβλῆσθαί σοι καὶ ὁπηοῦν; Τοὺς μὲν οὖν νέους ἐκείνους, οὓς ἡ κάμινος ἔσχεν, οὕτω γενναίως πρὸς τοὺς κρατοῦντας ὑπὲρ εὐσεβείας ἀντιστάντας καὶ τῶν πατρίων, ἐπαινέσαιμι μὲν ἂν· καὶ λίαν εἰκότως· ἀλλ’ οὔπω κατὰ ταὐτὰ τοῖς σοῖς ὦ Χριστοῦ μάρτυς· πολλοῦ γε καὶ δεῖ. Εἴπερ ἐκεῖνοι μὲν, {εἰ καὶ} τῇ περὶ τὸ θεῖον ἀγάπῃ πάντα πάσχειν ἑτοίμως εἶχον, ἀλλά γε πρὸς ἀνάγκην ἐπὶ ταύτην ἔπειθ’ ἧκον τὴν καρτερίαν. Οὐ γὰρ ἐξῆν ἄλλως αὐτοῖς εὐσεβεῖν, μὴ πεῖραν λαβόντας τῶν δυσχερῶν· σύ δ’ ἑκὼν πρὸς τὸν ἀγῶνα χωρεῖς· ⟨ὡς⟩ καὶ πάντα εὐσεβοῦντα, ἔξω τῶν δεινῶν παντάπασι καθεστάναι, τῷ περὶ Χριστὸν πόθῳ· τῷ τε περιόντι τῆς καρτερίας, τὸ πῦρ μὲν ἐλέγχεις τῶν βασάνων, εἰ βούλει δὲ καὶ τῶν πειρασμῶν· ὃ μεῖζον τοῦ πυρὸς ἐκείνου καὶ πολλῷ χαλεπώτερον διενεγκεῖν· διασχὼν δὲ τὴν ὕλην, θεὸν καθαρῶς ὁρᾷς, οὐκ ἐν εἰκόνι δήπου καθάπερ ἐκεῖνοι. Τοσοῦτον τῶν σῶν κἀκείνων τὸ μέσον· καὶ οὕτω τῶν βελτίστων· καὶ παρὰ πάντας ἐπ’ εὐσεβείᾳ γνωρίμων καὶ τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσι, μείζων ἀνεφάνης οἷς ἔφην.

Οὕτω τοίνυν διὰ πάντων ἐλάσας, καὶ τὸν δρόμον ὡς οὐκ οἶδ’ εἴ τις τελέσας, ὦ μέγα θαῦμα τῆς οἰκουμένης, νῦν καθαρῶς σύνει τῷ ἀγωνοθέτῃ θεῷ· καὶ τῆς ἐκεῖθεν ἐμφορούμενος αἴγλης, μετὰ πολλοῦ τοῦ μείζονος τῶν πόνων ἀπολαμβάνεις τὰς ἀμοιβὰς· οὗτος δέ σοι καὶ παρ’ ἡμῶν ὁ λόγος, ἀντ’ ἄλλου τινὸς γέρως, ἢ στεφάνου τῶν παρ’ ἡμῖν· τῶν μὲν πραγμάτων καὶ τῆς προθυμίας εὖ οἶδα παραπολὺ· τῆς δὲ δυνάμεως οὐκ ἐλάττω. Σὸν δ’ ἂν εἴη καὶ τοῦ σοῦ πρὸς ἡμᾶς διακειμένου καὶ ἵλεω, δοῦναι μὲν κἀπὶ τοῦ παρόντος ἀπολαῦσαι κατὰ τὸ ἔπος, πάντων ὅσα γε θυμὸς ἀνώγει· καὶ τούτων, ὅσα θεοφιλῆ, καὶ σοὶ μάλα κεχαρισμένα· ἐπὶ δὲ τοῦ μέλλοντος, βασιλείας οὐρανῶν· καὶ τῶν μεγίστων καὶ ὑπερφυῶν ἐκείνων, καὶ πᾶσαν αἴσθησιν ὑπερβαινόντων καὶ νοῦν, ὧν νῦν αὐτὸς ἀπολαύεις· ἵνα τῆς ἧς ἔλαχες δόξης παρὰ θεοῦ γενόμενος θεατὴς· καὶ οἷ φέρεις τῆς περὶ αὐτὸν ἑταιρείας, εὖ μάλα καταμαθὼν, οὐχ ὁρίσωμαι τοὺς ὕμνους ⟨ἐν⟩ τῷ παρόντι μόνῳ βιοῦντι· ἀλλ’ ἔχω τοι κἀνταῦθα τοῖς σοῖς ἐπιβάλλειν ἐπαίνοις, μετά γε μείζονος πολλῷ τῆς παρασκευῆς· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

292–302 Τοὺς – ἐκεῖνοι] allusio ad Daniel 3.1–3.33 || **305** τὸν – τελέσας] Tim. 2.4.7 τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα || **311–312** κατὰ – ἀνώγει] cf. e. g. Hom. *Il.* (Allen 8.322) [...] βαλέειν δέ ἑ θυμὸς ἀνώγει.

293 οὕτω] οὕτως B **293–294** ὑπὲρ εὐσεβείας] M: om. PB **294** μὲν] om. P **296** εἰ καὶ] PBM: seclusi **297** ἔπειθ’] ἔπεθ’ M | αὐτοῖς] M: αὐτοὺς PB **298** ὡς] addidi | πάντα] scripsi: παρὸν PMB **304** ἀγῶσι] ἀγῶσιν B | ἀνεφάνης] ἀνεφάνη M **308** οὗτος] an οὕτως scribendum? **310** ἐλάττω] ἐλάττων PB **314** καὶ νοῦν] καινῶν falso legit Papad.-Keram. **316** ἐν] addidi, cf. etiam 1.168-169

3. Laudatio s. Nicolai (BHG 1364g)

Aufbau und Inhalt der Rede

1–22: Proömium

23–54: Das ganze Leben des Nikolaos richtet sich an Gott. Seit seinem Kindesalter lernt er fasten und von dem Heiligen Geist geführt zu werden.

55–59: Die Tugenden des Nikolaos. Seine Weihe zum Priester.

60–86: Die Weihe des Nikolaos zum Erzbischof von Myra auf wunderbare Weise.

87–105: Die Zeit der Maximian und Diokletian. Christenverfolgung und Gefangenschaft des Nikolaos.

106–130: Konstantin besteigt den Kaiserthron. Nikolaos wird wieder in sein bischöfliches Amt eingesetzt. Er kümmert sich um seine Gemeinde. Er verbringt die Nächte im Gebet und sorgt sich um die Menschen, die sich von der Kirche entfernen.

131–137: Nikolaos kämpft gegen den Arianismus. Seine Teilnahme am ersten Konzil von Nikaia.

138–164: Er kümmert sich um seine Gemeinde. Er verhindert die Todesstrafe an einem zu Unrecht verurteilten Menschen.

165–178: Er tut allen Menschen wohl, die sich in Not befinden und ihn zu jeder Zeit und an jedem Ort anrufen.

179–197: *Praxis de Stratelatis*: Drei Heerführer im Dienst des Kaisers werden verleumdet und zum Tod verurteilt. Nikolaos erscheint im Traum dem Kaiser und erklärt ihm, wer tatsächlich schuldig ist.

198–207: In Seenot geratene Schiffsleute rufen in ihrer gefährlichen Lage den Nikolaos an. Er erscheint ihnen, rettete das Schiff und bringt den Sturm zum Abflauen.

208–230: Definition des „Märtyrers". Die Seelen im Jenseits und Diesseits.

231–242: Nach seinem Tod zeigt Nikolaos den Menschen noch immer seine Menschenliebe.

243–253: Nikolaos wirkt Wunder nach seinem Tod. Er rettet einen vor dem Ertrinken im Meer.

254–275: Seine Leiche zeigt durch das wohlriechendes Öl, das sie verströmt, seine Gaben, seine Frömmigkeit und seine Menschenliebe.

276–287: Lob des heiligen Nikolaos – Epilog.

3. Ἐγκώμιον, εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν, θεῖον ἀρχιεράρχην, θαυματουργὸν καὶ μυροβλύτην, Νικόλαον.

Ἐπεὶ δὲ πάντα ἀπήντησεν ἡμῖν παρὰ σοῦ ὦ ποιμένων ἄριστε τὰ ἐκ τῶν εὐχῶν, ἥκομεν ὡς ἂν οἷοι τε ἐγενόμεθα, ἀποδώσοντες τὴν ἐπὶ τούτοις χάριν· λόγους δὲ εὐξόμεθα· καὶ τούτων, ὅσοι δυνατοὶ. Ἃ μὲν γὰρ καὶ συγγραφεῖς συνεγράψαντο περὶ αὐτοῦ· καὶ ἀπὸ στόματος ᾄδουσι πάντες ἄνθρωποι, τοῦτο μὲν τὸν βίον αὐτῷ· τοῦτο δὲ τὴν πολιτείαν ὑμνοῦντες, λέγω, ὁποῖον ἑαυτὸν παρέσχετο τῷ κοινῷ, ὡς φιλανθρωπότατα τῶν πώποτε πολιτευσαμένων, οὐ πάνυ τοι ἡγοῦμαι εἶναι προσῆκον τῷ ἐμῷ πράγματι, ἅπαντα νυνὶ ταυτὶ διιέναι· μηδὲ γὰρ ἂν ὑποδῦντα τὸν ἀγῶνα τὸν ὑπὲρ ἁπάντων τούτων, δυνηθῆναι διενεγκεῖν. Ἄλλωστε· εἰ μὲν λόγων ἔδει Νικολάῳ πρὸς τὸ βέλτιστον εἶναι δόξαι, καὶ ὑπὲρ τούτων παρῆλθον, εἰκὸς ἂν ἦν ἅπαντα ἃ πρὸς ἔπαινον αὐτῷ ἔφερεν, ἀπὸ τῶν λόγων ἀπαιτεῖν, μηδὲν παριέντας. Νυνὶ δὲ ἑτέρως ἔχοντος τοῦ πράγματος· καὶ τοῦ μὲν κοσμοῦντος, οἴκοθεν ὄντος αὐτῷ· τῶν δὲ ἐπαινούντων λόγων· ὑπὲρ τῶν ποιουμένων γινομένων, ἑαυτοὺς σεμνυνόντων διὰ τὸ σχῆμα τῆς σπουδῆς, πῶς οὐ φανερὸν γένοιτ’ ἂν, ὅτι τοσοῦτον εἰσενέγκαι τοῖς λόγοις ἀνάγκη, ὅσον τὴν εὐχὴν ἀποδοῦναι;

Ὥστε δοκεῖ ἐκεῖνο εἰκὸς εἶναι συμβαίνειν, τῶν μὲν ἄλλων ἃ νομίζεται, λέγω πόλεως καὶ γονέων, ἃ τὸν γενναῖον ἤνεγκαν, ἀφεμένους, ἐπ’ ἐκεῖνα μόνα ἐπαποδῦναι, ἃ καθαρῶς ὑπὲρ ἐκείνου γίνεται· καίτοι καὶ ἐκείνων μνησθῆναι μὲν· δυνηθῆναι εἴποιμι ἂν· πάντων δὲ· ἢ ὥσπερ εἰκός ἐστιν, ἢ μικρῷ λειπόμενος, οὐκ ἂν ἔτι· ᾧ γὰρ ὁ Θεὸς ἐγένετο ἀντὶ στεφάνων, – ἡ γὰρ δόξα μου φησὶν ὁ Θεός μου, – λόγος ἀνθρώπινος τίς γενόμενος, ἀρκέσειεν ἂν· ἢ τίνων δεήσει τῶν ἐγκωμίων;

Ἐκείνῳ γὰρ, οὐ μόνον, οὐ δόξης· οὐ τύχης· οὐδενὸς ὧν ἐρῶσιν ἄνθρωποι, λόγος ἐγένετο παρὰ τὸν βίον πρότερος τοῦ Θεοῦ, ἀλλὰ καὶ τὴν ψυχὴν πρὸς ἐκεῖνον, οὕτω γνησίως παρεσκεύασεν ἔχειν, ὥστε καὶ τὸ περιεῖναι καὶ ζῆν, καὶ τὸ λογίζεσθαι, καὶ πάντα αὐτῷ, ἐκεῖνον γενέσθαι. Διαταῦτα δὴ καὶ φανερὸς ἐγένετο, τοιοῦτος ἐσόμενος ἐξαρχῆς· καὶ πρὶν παρελθεῖν ὡς εἰπεῖν εἰς τὸν βίον, πρὶν καθαρῶς εἰς ἀνθρώπους τελέσαι, ἅγιος καὶ ἱερὸς καὶ θεῖος ἔδοξεν εἶναι. Καθάπερ γὰρ ὅτι τὸν ἥλιον εἶδε, συνειδὼς ἑαυτῷ, πολλῶν ὀφειλέτης γενόμενος τῷ Θεῷ, καὶ ὅτι μεμνῆσθαι χαρίτων πρὸς ἐκεῖνον, πᾶσα ἀνάγκη, οὕτως ἐζήτει αὐτὸν ἀμείβεσθαι ἀπὸ τῶν ἐνόντων·

M B P F

3, 21 γὰρ – μου[2]] Isai. 60.19 ἀλλ᾽ ἔσται σοι Κύριος φῶς αἰώνιον καὶ ὁ Θεὸς δόξα σου

3, 1–2 εἰς – Νικόλαον] tit. ἐγκώμιον-Νικόλαον M: τοῦ αὐτοῦ· λόγος εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν μέγαν, ἱεράρχην, μυροβρύτην καὶ θαυματουργὸν Νικόλαον FPB, supra tituli Μηνὶ Δεκεμβρίῳ στ.’ scr. P **4** ἀποδώσοντες] ἀποδώσαντες Pseutonkas **5** εὐξόμεθα] scripsi: εὐξάμεθα omnes codd. **9** νυνὶ] M: om. FPB | ἂν] M: om. FPB **12** ἔφερεν] omnes codd.: ἔφερον Pseutonkas | μηδὲν] M: μηδενὸς FPB | παριέντας] omnes codd.: an παριέντος scribendum? **14** γινομένων] M: γιγνομένων BPF **15** γένοιτ’] FPB: γένοιτο M **24** πρὸς ἐκεῖνον] M: om. FPB **25** γνησίως] omnes codd.: γνησίαν Pseutonkas **26** δὴ] δὲ Pseutonkas | φανερὸς] φανερῶς Pseutonkas **30** πρὸς ἐκεῖνον] M: om. FPB

τροφῆς τε ἀπήρχετο τῆς παρούσης, γάλα δὲ ἦν ἔτι τροφὴ τῷ γενναίῳ· – καὶ τοὺς κειμένους περὶ τῆς τραπέζης χριστιανοῖς νόμους, βούλεσθαι σέβειν ἐῴκει· γευόμενος μὲν, ὅτε ἐξῆν· ἀπεχόμενος δὲ, ὅτε νομίζεται· καὶ τοῦ Παύλου κελεύοντος, τὴν δόξαν τοῦ Θεοῦ παντὸς ὁτουοῦν ἔργου τέλος τιθέναι, κἂν τε ἐσθίειν· κἂν τε πίνειν δεήσῃ· ὁ δὲ ἐπεὶ οὐκ εἶχεν ἄλλῳ τινι τῶν ἁπάντων πρὸς δόξαν Θεοῦ κεχρῆσθαι, ἀπὸ τῆς τραπέζης, τὸν νόμον ἔσωζε. Καὶ τοῦτό ἐστι, πρινὴ γνῶναι τὸ παιδίον πονηρὰ ἢ ἀγαθὰ, ἐκλέξεται τὰ ἀγαθὰ, ὅπερ τῷ Σωτῆρι, παρὰ τῆς Γραφῆς μαρτυρεῖται. Καίτοι· εἰ μὲν οἰκείοις λογισμοῖς ἦλθεν ἐπὶ τὴν γνώμην, ἀτεχνῶς ὑπερφυὲς, ὅτε μηδέσιν ἀνθρώπων τὸ λογίζεσθαι, ἐκείνῳ τότε συμβῆναι. Εἰ δὲ ὁ Θεὸς ἐκίνησε, τί γένοιτ' ἂν μεῖζον εἰς εὐφημίαν, τοῦ θείας ἐπιπνοίας οὕτως ἔχοντα ἡλικίας, ἄξιον φανῆναι γενέσθαι· καὶ τῶν ἄλλων ἁπάντων, ἀντὶ πολλῶν ἀγώνων ἐκεῖνο δεχομένων, λέγω τὸ πνεύματι Θεοῦ ἄγεσθαι, ἐκείνῳ δοθῆναι, πρινὴ λογίζεσθαι δυνηθῆναι. Ὥστε, ὃ τοῖς ἄλλοις ὁ λογισμὸς, τοῦτο ἐκείνῳ Χριστὸν γενέσθαι· οἶμαι τοῦ Θεοῦ δεικνῦντος τὸ μέλλον, καὶ μονονοὺ τοῖς ἀνθρώποις εὐαγγελιζομένου, μέγα ἀγαθὸν, Νικόλαον ὑπάρξειν τῷ βίῳ. Εἶεν.

Ἔδειξε δὲ ἀπὸ τούτων, ὅτε καὶ ὁ λογισμὸς αὐτῷ ἐπὶ τῆς φύσεως ἦν, καὶ βουλεύεσθαι οἷος τε ἐγένετο περὶ τῶν γινομένων, οὐκ αὐτὸς ἑαυτὸν ἄγων, οὐδὲ τοῖς αὐτῷ δοκοῦσιν ἀκολουθῶν· οὐδὲ ἑαυτῷ ἀρέσκων, καθάπερ ὁ Σωτὴρ οὐχ ἑαυτῷ ἤρεσεν· ἀλλὰ νοῦν Χριστοῦ ἔχων, Παῦλος ἂν εἶπε. Ταῦτα δὲ, ἔστι μὲν εἰκάζειν ἀπὸ τῶν εἰρημένων· φαίνεται δὲ πανταχόθεν τῶν ἐκεῖνῳ πεπραγμένων· ἔδειξε δὲ ἐξ ὧν ὁ Θεὸς αὐτὸς ἐψηφίσατο καὶ ἔγνω περὶ αὐτοῦ. Ὁ μὲν γὰρ, ταῖς ἐξαρχῆς ὑποθέσεσι, συμβαίνοντα παρέσχετο τὸν ἔπειτα βίον. Ὥστε ἐνῆν μὲν μαντεύεσθαι ἀπὸ τοῦ νηπίου, τὸν νεανίσκον· τεκμαίρεσθαι δὲ ἀπὸ τῶν δευτέρων, τὰ ἐν ἀρχῇ. Καὶ ἦν ἐπιδεικνύμενος τρόπους μείζονας, ἢ ἡλικίᾳ νέων προσήκειν.

Καὶ τὰς ἁπάντων ψυχὰς εἰς ἑαυτὸν ἐπιστρέφων, χρῆμα ἱερόν τι ἐδόκει εἶναι, καὶ Θεῷ καὶ τοῖς ἐκείνου πρέπον ἱεροῖς ἀνακεῖσθαι, παντὸς ἀγάλματος δικαιότερος· γίνεται τοίνυν. Καὶ ἦν ἱερεὺς τοῦ Θεοῦ, συστήσας ἑαυτῷ τοῖς ἤθεσι τὴν ἐπωνυμίαν. Παρθένος ἦν τὴν ψυχὴν· παρθένος τὸ σῶμα· δίκαιος· μέτρια φρονῶν· οὐ τύφῳ δουλεύων· πρᾷος· φιλάνθρωπος· πολλοῖς λύων χρήμασι συμφορὰς.

Τί τὸ ἐντεῦθεν; Ἔδει τοῖς τρόποις μείζονος σχήματος. Κοινωφελὲς γὰρ ἀγαθὸν ἐκεῖνος, καὶ τῇ τοῦ κοινοῦ πολιτείᾳ πάνυ προσήκων· καὶ οὔτε αὐτὸς ἀφ' ἑαυτοῦ, οὔτε ἑτέρου τῶν ἀνθρώπων ἔλαβε τὴν ἀρχὴν, ἀλλ' αὐτὸς παρελθεῖν αὐτὸν

33–35 καὶ – κεχρῆσθαι] 1 Cor. 10.31 Εἴτε οὖν ἐσθίετε εἴτε πίνετε εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε || **36–37** πρινὴ – μαρτυρεῖται] Isai. 7.16 διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν || **41–42** τὸ – ἄγεσθαι] Rom. 8.16 ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοι εἰσιν υἱοὶ Θεοῦ || **48** καθάπερ – ἤρεσεν] Rom. 15.3 καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν || **49** νοῦν – εἶπε] 1 Cor. 2.16 ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν

---

35 ἁπάντων] πάντων M **37** Σωτῆρι] σωτῆρι supra erasa verba scr. M^{pc} **39** ὁ] FMB: om. P | γένοιτ'] FPB: γένοιτο M **40** εὐφημίαν] εὐφημίας Pseutonkas **48** Σωτὴρ] MFB: Χριστὸς P **49** ἔχων] ἔχων ante Χριστοῦ transp. F **50–51** ὁ Θεὸς] verba ὁ Θεὸς ante ἐξ ὧν transp. BPF **51** αὐτὸς] om. M **52** παρέσχετο] παρεδέχετο falso legit Pseutonkas **54** τρόπους] post τρόπους add. καὶ Pseutonkas

παρεσκεύασεν ὁ Θεὸς, ὥσπερ εἰκὸς τὸν ἑταῖρον τὸν ἑαυτοῦ. Ἔδει μὲν γὰρ τοῖς Μυρεῦσι ποιμένος, τοῦ παρόντος οἰχομένου· ἐζήτει δὲ παρὰ τοῦ Θεοῦ τὴν ψῆφον ἡ πόλις· καὶ ἠξίου τῆς ἀρχῆς τὴν χειροτονίαν, ἐκεῖθεν ἥκειν, ὡς μόνην ταύτην οὖσαν ἀσφαλῆ περὶ τοῦ πράγματος γνώμην. Καὶ ἦσαν ἐν εὐχαῖς παννυχίζοντες· θεοκλητοῦντες· δακρύοντες· πάντα ποιοῦντες· πολλὴν εἰσφέροντες περὶ τοῦ πράγματος τὴν σπουδὴν. Καὶ οἱ μὲν· ἱκέτευον· ὁ δὲ· ἐπένευε. Καὶ τὸν φίλον παρακληθεὶς ὑποδεῖξαι, καὶ ᾧ χαίρει διαφερόντως ἀνθρώπων, ὑποφαίνει τουτονὶ τὸν ἄριστον. Καὶ ἐκέλευεν οἷς ἐχρημάτιζε· ⟨αὐτὸν⟩ κατασχόντας, ἄγειν τὲ ἐπὶ τὸ βῆμα, καὶ τὴν ἀρχὴν τῆς ἐκκλησίας, πόρρωθεν προσήκουσαν, ἀποδοῦναι· καὶ τὸ μεῖζον εἰς εὐφημίαν, ὅτι καὶ τοὔνομα σημήνας, ἐκεῖνο προσέθηκε, τοῦτον εἶναι «τὸν τῷ ἐμῷ κινούμενον πνεύματι». Καὶ τί ἂν εἴποι τις ὑπὲρ τοῦτο, ὅταν ὁ Θεὸς αὐτὸς ὑπὲρ αὐτοῦ ψηφίζηται, καὶ τοσοῦτον ποιῆται λόγον τῆς ἐκείνου ποιμαντικῆς; Ἐπὶ τοῦτο καθάπερ Πέτρον αὐτὸς κινήσας· ὥστε· ὃ πρὸς τὸν Πέτρον καὶ τοὺς ἄλλους ἀποστόλους, «ἐγὼ ἐξελεξάμην ὑμᾶς», καὶ πρὸς ἐκεῖνον εἰρῆσθαι δικαίως· καὶ διατοῦτο, καὶ κοινωνεῖν τῆς ἐπωνυμίας τῷ Παύλῳ, καὶ «σκεῦος ἐκλογῆς» καὶ αὐτὸν καλεῖσθαι. Ἔστι δὲ λογίζεσθαι ἀπὸ τούτων, ὅτι τὲ θαυμαστὸς ἦν ἐκεῖνος τοῦ Σωτῆρος ἑταῖρος, καὶ πολὺ καὶ ἄρρητον, πρὸς ἐκεῖνον εἶχε τὸ φίλτρον, τὸ σημεῖον δεξάμενος τῶν περὶ αὐτὸν ἐρώτων, λέγω τὴν ποιμαντικὴν, καὶ ὅτι οὗτος ἦν ἐκεῖνος, «ὁ ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων»· δι' ὧν τοιαύτην ὁ Θεὸς ἤνεγκε γνώμην περὶ αὐτοῦ, οὐκ ἂν· εἰ μὴ ποιμένων ἦν ὁ φιλανθρωπότατος· οὐ μὴν, ἀλλὰ ταῦτα γνοίη τις ἂν, καὶ ἀπὸ τῶν ἔπειτα ἐκείνῳ κατωρθωμένων, ὡς εὐσεβείας καὶ φιλανθρωπίας, οὐδέσιν ἀνθρώπων ἀφῆκεν ὑπερβολὴν. Τῆς μὲν οὖν περὶ τὸν Θεὸν φιλίας, ἐκεῖνο ἐναργὲς ἡγοῦμαι εἶναι σημεῖον· καὶ γὰρ ⟨τὸ⟩ ὑπὲρ αὐτοῦ καὶ τεθνάναι δεῆσαν, ἡδέως εἵλετο, καὶ τῆς ψυχῆς τὸν σωτῆρα πρότερον ἄγων· δῆλον δὲ.

Μαξιμιανὸς ἦγε Ῥωμαίοις τὰ πράγματα· μεγάλη δὲ ἦν αὐτῷ περὶ τοὺς δαίμονας καὶ τὰ ἐκείνων εἴδωλα προθυμία· καὶ τῆς σπουδῆς, ἐδόκει πάντα ἐλάττω. Ἦν δὲ γῆ καὶ θάλασσα ἐν χειμῶνι· καὶ πάντα παρὰ τὸ γινόμενον ἐκινεῖτο· τὸν μὲν δημιουργὸν τῶν ὄντων ἀπελαύνειν, τοὺς νόθους δὲ ⟨νόμους⟩ ἀντεισάγειν, πειρωμένου τοῦ βασιλέως· καὶ πείθειν ψυχὰς ἁπάσας, γνώμας ἁπάσας, τῆς μὲν ἀληθείας τὸ ψεῦδος, τὴν ἀπώλειαν δὲ τοῦ σώζεσθαι, τὰ δὲ ὄντα, τῶν μὴ ὄντων ἡγεῖσθαι ἄμεινον ἔχειν. Παρεκάλει δὲ πάντας ἐπὶ τὴν γνώμην τοῦ βασιλέως, τοῦτο μὲν, δόξα καὶ πλοῦτος καὶ

75–76 ἐγὼ – ὑμᾶς] Ioan. 15.16 οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς || **77** σκεῦος ἐκλογῆς] Act. 9.15 πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος || **80–81** ὁ[1] – προβάτων] Ioan. 10.11 ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων

---

64 τοῦ[2]] om. PBF **67** πάντα ποιοῦντες] FBP: om. M | περὶ] M: ὑπὲρ PFB **70** οἷς] verbum εἰς ante οἷς add. FPB | αὐτὸν] addidi | τὲ] om. FPB **71** καὶ[2]] om. FPB **73** ψηφίζηται] ψηφίζεται Pseutonkas **74** ποιῆται] ποιεῖται P | τοῦτο] omnes codd.: τούτῳ Pseutonkas **80** ἦν] om. Pseutonkas **85** εἶναι] om. FPB | τὸ] addidi **90** ὄντων] ὄντων ex ὅλων scr. B[pc] | νόθους] omnes codd.: νόμους falso legit Pseutonkas | νόμους] addidi **92** τὰ – ὄντων] M: τὰ δὲ μὴ ὄντα, τῶν ὄντων BPF: cf. 5.202-203, 5.582-583 **93** δόξα] ante δόξα verbum καὶ add. M | καὶ πλοῦτος] M: om. PFB

τρυφὴ καὶ ἡδονὴ, καὶ τὸ κοινωνεῖν ἐκείνῳ τῆς τύχης· τοῦτο δὲ, πενία καὶ δυστυχία καὶ ὕβρις καὶ εἱρκτὴ καὶ λιμὸς· καὶ θηρίων ὀδόντες· καὶ μελῶν ἐκτομαὶ· καὶ ξεσμοὶ· καὶ στρεβλώσεις· καὶ θάνατος αἴσχιστος· τὰ μὲν, τοῖς ἀκολουθοῦσι τοῖς νόμοις, τοῦ βασιλέως παρεχομένου, τὰ δὲ, τῶν μὴ βουλομένων προβαλλομένου. Ταῦτα δὲ, τοὺς μὲν ἐπῆρε γενέσθαι πονηροὺς, καὶ περὶ τὸν Θεὸν· τὸν σωτῆρα τὸν εὐεργέτην, κακοὺς φανῆναι· τοῦ ὄντος μὲν καταφρονήσαντας ἀγαθοῦ, τὸ δοκοῦν δὲ ἀλλαξαμένους· τοῖς δὲ εὐγνώμοσι τῶν ἀνθρώπων, ἀμείνω τὴν γνώμην ἐποίησε καὶ γενναιοτέραν· καὶ ἐπεδείξαντο πᾶσιν ἀνθρώποις, πάντων τῶν ἐν κόσμῳ πραγμάτων, καὶ ἀρχῆς καὶ ἡδονῆς καὶ χρημάτων, σώματος· ψυχῆς αὐτῆς, ἡδίω τὸν Θεὸν καὶ φίλτερον νομίζοντες εἶναι. Τουτωνὶ τῶν ἀγαθῶν ἀριστέων, Νικόλαος ἦν τοῦ χοροῦ κορυφαῖος· καὶ σώματος καταφρονήσας ὑπὲρ τῶν θείων ἐρώτων, καὶ τοῦ μηδὲν ἀλλότριον λογισάμενος τοῖς ἐξ ἀρχῆς βεβουλευμένοις.

Ἐν δεσμοῖς ἦν ὁ γενναῖος, χαίρων ὅτι ἠξιώθη ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ κατὰ τοὺς ἀποστόλους ἀτιμασθῆναι· καὶ ἡδέως ἀπέθνῃσκεν ἂν, εἰ μὴ τὴν ψῆφον ἔφθασεν ὁ Θεὸς τοῦ πονηροῦ βασιλέως· ἀπελάσας μὲν ἐκεῖνον, ἐπιστήσας δὲ τοῖς πράγμασι Κωνσταντῖνον, ὃς ἡγεμὼν ὑπῆρξε τοῖς ἄλλοις βασιλεῦσι, τῆς περὶ αὐτὸν εὐσεβείας. Οὕτω τὸν Χριστὸν ἐκεῖνος ἐφίλει. Μείζονα ταύτης τῆς ἀγάπης, μηδένα ἀνθρώπων ἔχειν, αὐτὸς ὁ φιλούμενος ἀπεφήνατο. Τῆς δὲ φιλανθρωπίας, οὐδέσιν οἶμαι τῶν ἐκ τοῦ παντὸς αἰῶνος εἰς τοὺς χριστιανοὺς πολιτευσαμένων, ἐξηνέχθη σημεῖα πλείω· ἢ καλλίω· ἢ φανερώτερα. Ὧι γε σπουδὴ μὲν ἦν ὑπὲρ τοῦ κοινοῦ πλείων, ἢ ἑτέροις ὑπὲρ σφῶν αὐτῶν· ἡ δὲ τῶν ψυχῶν σωτηρία, πέρας εὐδαιμονίας ἐδόκει· ἔργα δὲ καὶ λόγοι καὶ πόνοι καὶ ὁτιοῦν τῶν ἐν βίῳ, οὐδενὸς, ἢ ταύτης ἕνεκα ἐγίνετο τῆς σπουδῆς· καὶ τοίνυν ἡμέρας μὲν αὐτῷ, ἡ γλῶσσα ἐνεργὸς ἦν, καὶ πολὺς ἦν ὑπὲρ εὐσεβείας ῥέων, καὶ τοῦ τί ποιοῦντας τοὺς ἀνθρώπους, τῶν θείων ἀγαθῶν ἀξίους ἔνι γενέσθαι. Καὶ ὁ λόγος καλὸς καὶ ἐπαγωγὸς, τοῦ Θεοῦ τὴν ὥραν παρεχομένου· μεγάλην τὲ εἶχε τοῖς ἀκροωμένοις τὴν ἡδονὴν, ἐπὶ τὸν δρόμον ἐγείρων τοῦ εὐαγγελίου τῆς εἰρήνης, ᾗ φησι Παῦλος. Αἱ νύκτες δὲ τῷ Θεῷ περὶ αὐτῶν εὐχόμενον εἶχον, ὅτε ἔδει τι καὶ τῷ σώματι συγχωρεῖν. Ἡ γὰρ μέριμνα τῶν Ἐκκλησιῶν ἣ Παῦλον εἶχεν, οὐδ᾽ ἐκεῖνον εἴα καθεύδειν· ἀλλ᾽ ἔστενε μὲν ὑπὲρ τῶν πιπτόντων· ἐδεδίει δὲ περὶ τῶν ἱσταμένων· ἐδεῖτο δὲ τοῦ Θεοῦ, πέμπειν βοήθειαν ἑκατέρῳ τῶν χορῶν· καὶ

106–107 χαίρων – ἀτιμασθῆναι] Act. 5.41 χαίροντες [...] ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ κατηξιώθησαν ἀτιμασθῆναι || **110–111** Μείζονα – ἀπεφήνατο] allusio ad Joh. 15.13 Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. || **119–120** ἐπὶ – Παῦλος] allusio ad Eph. 6.15 καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης || **121–122** Ἡ – εἶχεν] 2 Cor. 11.28 χωρὶς τῶν παρεκτὸς ἡ ἐπισύστασίς μου ἡ καθ᾽ ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν

94 τύχης] ψυχῆς falso legit Pseutonkas **97** τῶν] ante τῶν verbum ὑπὲρ add. M **99** ὄντος] omnes codd.: ὄντως Pseutonkas | καταφρονήσαντας] καταφρονήσαντος Pseutonkas **103** Τουτωνὶ] τουτονὶ Pseutonkas **105** λογισάμενος] λογίσασθαι omnes codd.: correxi **115** καὶ πόνοι] om. Pseutonkas | ἕνεκα] MBF: εἵνεκα P: εἶναι καὶ falso legit Pseutonkas **117** τῶν] καὶ ante τῶν add. P **119** τὴν] om. FPB **121** τι] τε Pseutonkas | ἣ Παῦλον] ἣν Παῦλος Pseutonkas **122** οὐδ᾽] οὐκ Pseutonkas

τοῖς μὲν, στῆσαι τὴν συμφορὰν· τοῖς ἰοῦσι δὲ ⟨τὴν ὁδὸν⟩ τὴν ἄγουσαν εἰς αὐτὸν, τῶν ἀμώμων, ᾗ Δαυὶδ εἶπε, τήν τε ἀρετὴν διασώσασθαι τὴν παροῦσαν, καὶ ὁδοῦ βελτίονος ἡγήσασθαι. Διὰ ταῦτα φῶς ἀληθινὸν τοῖς ἀνθρώποις, ἀπὸ τῆς ἐκείνου γλώττης ἀνέτειλεν ὁ Θεὸς, καὶ τοῖς μὲν πονηροῖς, τὸ κατὰ ψυχὴν ἐλύετο σκότος· τοῖς δὲ ἀγαθοῖς τὸ ἦθος, ἄμεινον εἶχε. Καὶ ἦν ὥσπερ κορυφαῖος ἐν χορῷ συνᾳδόντων, κινῶν πρὸς ἁρμονίαν τὸν χορὸν, καὶ πείθων τῶν ᾠδῶν κατόπιν ἰέναι, καὶ μηδένα συγχωρῶν τοῦ καλῶς ᾀσθέντος, πρὸς παλινῳδίαν ἐξάγειν.

Ὁ γὰρ Παράκλητος· τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ τοῖς ἀποστόλοις ἡδεῖς ἐποίησε τοὺς λόγους, καὶ τὸ ξένον τῶν δογμάτων οὐδὲν ἐκώλυε πείθειν, τοῦτο ἐκείνῳ, παρῆν τὲ ἐν συλλόγοις ποιμένων διαφερόντως, καὶ πολλὴν κατέχει χάριν, τῆς τε γλώττης καὶ τοῦ προσώπου· καὶ οὐχ ὅσον φθεγγόμενος, ἀλλὰ καὶ μόνον ὁρώμενος, τὸ θέατρον ἀπὸ μόνης κατεδημαγώγει τῆς θέας· καί τις ἐν δόγμασι νοσῶν· καὶ πατρῴαν προσκυνῶν πλάνην, ἐπεὶ μόνον εἶδε καὶ συνέμιξεν, ἑάλω· καὶ μεταβαλῶν, ἀληθινὸς ἦν προσκυνητὴς τῆς Τριάδος. Οὕτως ἐκείνῳ τῆς τῶν ἀνθρώπων σωτηρίας ἐμέλησε.

Καὶ μὴν, καὶ ἐκεῖνο δεῖξαι τὸ ἐν ἀρχῇ, τῶν εἰρημένων οὐδενὸς ἧττον· λέγω, ὅτι οὐ μισθωτὸς, ἀλλὰ ποιμὴν ἦν ἐκεῖνος, καὶ ποιμένων ὁ καλὸς. Φανεῖται γὰρ, οὐ τῶν λύκων ἐπιόντων αὐτὸς καθεύδων· οὐδὲ φεύγων· ἀλλὰ τοῦ ποιμνίου προκινδυνεύων· καὶ τοῦτο νομίζων σωτηρίαν ἑαυτοῦ, ἐάν τι γένηται τοῖς ἄλλοις ἀνθρώποις ἄμεινον πρᾶξαι.

Ἀδικεῖν τις ἐβούλετο τῶν ἐπὶ τῶν πραγμάτων. Μικρὸν δὲ ἡγούμενος, καὶ οὐ πάνυ πρὸς ἑαυτοῦ καὶ τῶν τρόπων, εἰ χρήματα ἔξω δικῶν καὶ νόμων ἀποστεροίη, {καὶ} μέχρι τούτων διασώζει τὴν γνώμην. Ὁ δὲ καὶ σωμάτων ἥπτετο· καὶ καταψηφίζεται θάνατον ἀνδρῶν, μηδὲν προσῆκον τῇ ψήφῳ, μήτε μέγα, μήτε μικρὸν ἠδικηκότων· καὶ ἦν ἤδη τὸ ἔργον· καὶ τὸ ξίφος ὑπὲρ κεφαλῆς. Ὁ δὲ μέγας, ἐπύθετο μὲν· ἤλγησε δὲ· πέμπει δὲ τοὺς ὑπὲρ τῶν ἀδικουμένων τοῦ πονηροῦ δικαστοῦ δεησομένους, αὐτὸς οἴκοι μένων, οὐκ ᾤετο δεῖν· ἀλλὰ θυμῷ δικαίῳ τὴν ψυχὴν ἀναστήσας, αὐτὸς ἐχώρει· καὶ φθάσας τὸν σίδηρον, λύει τὴν συμφορὰν· αἰδοῖ στήσας τῷ δημίῳ τὴν χεῖρα. Εἶτα καὶ προσιόντα τὸν μιαρὸν ἐκεῖνον, καὶ παραιτούμενον ὑπὲρ ὧν ἠδίκησε, καὶ διαλλαγῶν μεμνημένον, καὶ τῆς δίκης, αἰτιώμενον οὐ τὴν γνώμην, ἀλλὰ τοὺς συκοφάντας, οὕτως προσίεται, καὶ καθάπερ δοῦλον εὐθύνας πονηρὸν, ἐξελέγχει καὶ

124–125 τοῖς[2] – εἶπε] cf. Ps. 118.1 Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου **138–140** λέγω – προκινδυνεύων] cf. Ioan. 10.11–12 ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· || **153–155** καθάπερ – ἀνθρωπίνας] allusio ad Math. 18.23–34

124 ἰοῦσι] οὖσι falso legit Pseutonkas | τὴν ὁδὸν] addidi | εἰς] ὡς M **125** διασώσασθαι] διώσασθαι B **126** ἀνθρώποις] in margine scr. M **129** πείθων] πείθειν legit Pseutonkas **132** ἐκείνῳ] καὶ ante ἐκείνῳ add. PBF **133** κατέχει] an κατεῖχε scribendum? **134** φθεγγόμενος] MBP: φθεγγομένης F **136** μεταβαλῶν] μετακαλῶν Pseutonkas **144** καὶ[3]] seclusi **145** διασώζει] M: διασώζοι BPF **148** πέμπει] omnes codd.: correxi **151** καὶ[1]] M: om. FPB **153** οὕτως] scripsi: οὔτε omnes codd. | καὶ[1]] om. Pseutonkas

καταισχύνει, καὶ δείκνυσιν οὐκ ἐξηπατημένον, ἀλλὰ φαύλων ἕνεκα δώρων, αὐτὸν ἑκόντα προδόντα τὰ δίκαια· καὶ χρημάτων ὀλίγων, ψυχὰς ἀποδόμενον ἀνθρωπίνας· ἐκεῖνο προσθεὶς τελευταῖον, πολὺν διατοῦτο κατ' αὐτοῦ πρὸς τὸν Θεὸν ποιήσεσθαι λόγον· καὶ κινήσειν αὐτὸν ἐπὶ τὴν ἄδικον κεφαλὴν. Τί ταῦτα ποιῶν καὶ λέγων καὶ παρρησιαζόμενος ὁ γενναῖος, μάλιστα μὲν τῆς ἀγάπης τῶν ἀνθρώπων κινούσης· ἔπειθ' ὡς ἂν μάθωσιν οἱ πονηροὶ τῶν ἀρχόντων, οὐκ ἄνευ τῶν ἐσχάτων κινδύνων ὑβρίζοντες εἰς τοὺς ἐλάττους; Καὶ πόθεν ἄλλοθεν ἄν τις, ἢ ἀπὸ τούτων δοκοίη φιλάνθρωπος ὢν καὶ δημωτικὸς, καὶ τοῖς κοινοῖς ἀγαθοῖς χαίρων; «Μὴ καταφρονήσητέ» φησιν «ἑνὸς τῶν μικρῶν τούτων· τοὺς γὰρ προστατοῦντας αὐτῶν ἀγγέλους, διαπαντὸς βλέποντας τὸ πρόσωπον τοῦ Θεοῦ», καὶ ὑπὲρ αὐτῶν ἀμύνεσθαι δυνατοὺς εἶναι. Τούτοις τοῖς λόγοις, τὸ ἐκείνου πρᾶγμα συνέβη.

Καὶ κοινωνὸς ἦν τοῖς ἀγαθοῖς ἀγγέλοις, τῆς προνοίας καὶ τῆς φιλανθρωπίας τῆς εἰς τὸ γένος· ἀμείβων μὲν τὴν τύχην τοῖς πταίουσι, σείων δὲ τὴν ἀλαζονείαν τοῖς ὑβρισταῖς· καὶ καθάπερ πιστεύομεν, εἶχεν τινὰ τοῖς ἁγίοις ἀγγέλοις ἀρχὴν καὶ κηδεμονίαν τῶν ἐν τῇ γῇ. Καὶ γὰρ λειτουργικὰ πνεύματα ἀποστελλόμενα πρὸς διακονίαν ἐδόκει Παύλῳ, ὡς δὲ καὶ αὐτὸς· ὥσπερ ἐπιτραπέντων αὐτῷ τῶν ἀνθρωπίνων πραγμάτων, περιῄει τὴν οἰκουμένην, γῆν καὶ θάλασσαν εὖ ποιῶν. Καὶ τὸ μεῖζον καὶ ὑπερφυὲς, ὅτι καὶ παρῆν τοῖς δεομένοις, τάχιον ἢ δύναται σῶμα· καὶ τὴν φιλανθρωπίαν τῆς ψυχῆς, οὐδὲν ἐκώλυεν ὁ δεσμὸς· ἀλλὰ τῶν ἀπανταχοῦ γῆς κακῶς πραττόντων, καὶ βοώντων τοὔνομα, καὶ καλούντων ἐπὶ τὰ παρόντα δεινὰ, ταῖς φωναῖς ἠκολούθει. Καὶ ἐφαίνετο τῶν κακῶν ἀπαλλαγὴ, πέρα προσδοκίας ἁπάσης· «εἴτε ἐν σώματι· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν»· ὃ, κἂν ὁ Παῦλος εἶπε περὶ αὐτοῦ. Τὸν γὰρ τρόπον, ἐγὼ νομίζω μείζονα εἶναι, ἢ ἀνθρώπους εἰδέναι. Καὶ μὴν, ὅτι παραδόξως εὐηργέτει τὸ γένος, καὶ παρεῖχεν ἑαυτὸν σωτῆρα τοῖς ἀνακαλουμένοις ἐν τοῖς κακοῖς ἅμα τῇ φωνῇ, τεκμήρια ἐκεῖνα ἂν εἴη.

Ἀνθρώποις τισὶ τῶν περὶ τὸν βασιλέα, πολλὴν παρασχοῦσι πεῖραν εὐνοίας, τῷ τε βασιλεῖ καὶ τῶν Ῥωμαίων τῷ κοινῷ, δι' ὧν ἐπεδείξαντο πολλῶν καὶ γενναίων ἔργων, φθόνος ἐπέθετο· καὶ παρὰ τὸ δίκαιον ἐδυστύχουν· καὶ ἔπραξαν οὕτω κακῶς, ὥστε καὶ τεθνάναι κίνδυνος ἦν. Ἔφασκον γὰρ οἱ συκοφάνται, κατὰ τῆς τοῦ βασιλέως κεφαλῆς βουλεύεσθαι τοὺς ἀνθρώπους· καὶ ἔπειθον ⟨αὐτὸν⟩, Ἀβλαβίου τινος

161–163 Μὴ – Θεοῦ] Math. 18.10 Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. || **168–169** λειτουργικὰ – Παύλῳ] Hebr. 1.14 οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίας; || **175–176** εἴτε[1] – αὐτοῦ] 2 Cor. 12.3 καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον· εἴτε ἐν σώματι εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα, ὁ Θεὸς οἶδεν·

154 φαύλων] omnes codd.: φαῦλον Pseutonkas **155** τὰ δίκαια] τὰ δίκαια ex τὸ δίκαιον scr. B[pc] **161** καὶ δημωτικὸς] M: om. PBF **167** εἶχεν] scripsi: εἶναι omnes codd. | τινὰ] om. B; τινας Pseutonkas **174** τῶν] om. PFB **176** εἶπε] ᾗ scripsit Pseutonkas | αὐτοῦ] αὐτοῦ M | ἐγὼ] om. Pseutonkas **178** ἐκεῖνα] ἐκείνοις Pseutonkas | εἴη] εἴη ex εἶεν scr. B[pc] **179** τῷ] τῶν scripsit Pseutonkas **183** αὐτὸν] addidi

ἐπάρχου, τῇ πονηρίᾳ βοηθοῦντος. Καὶ δὴ, οἱ μὲν ἐνίκων, οἱ συκοφάνται· καὶ ἔδει δεθέντας τοὺς ἀνθρώπους ἀποθανεῖν· ἐκείνοις δὲ, ἐλπὶς μὲν ᾤχετο πᾶσα· καὶ οὐδὲν ἦν, ὅπερ ἀρκέσαι ἐδόκει δυνατὸν εἶναι· μόνον δὲ τὸν ἅγιον ἐπίστευον ἀλεξίκακον ἐν τοῖς κακοῖς, καὶ πόριμον ἐν ἀπόροις αὐτοῖς γενέσθαι. Καὶ ἐπεὶ μὴ παρῆν, τοὔνομα ἀπὸ τῶν δεσμῶν ἐκάλουν δακρύοντες· οἰόμενοι ἐκεῖνον, καὶ ἀκούειν βοώντων, καὶ δυνηθῆναι, καὶ παρεῖναι καὶ βοηθῆσαι· ὡς γὰρ ἀγγέλῳ Θεοῦ τῷ Νικολάῳ προσεῖχον. Καὶ ἡ ἀρετὴ τοῦ ἀνδρὸς, πάντας ἔπεισεν ἀνθρώπους, μείζων οὖσα δυνάμεως ἀνθρωπίνης, μείζονα δόξαν ἔχειν περὶ αὐτοῦ, ἢ περὶ ἀνθρώπου προσῆκε. Καὶ ταῦτα ἐλπίσαντες, οὐχ ἡμάρτανον· οὐδ᾽ ἐμέμψαντο ἑαυτοῖς τῶν ἐλπίδων, ἀπατηθέντες· ἀλλ᾽ οὕτως ἔτυχον εὐμενοῦς, ὥστε ἄμεινον αὐτοῖς συνέβη πράττειν ἢ προσεδόκων. Ὁ γὰρ ἅγιος, ὄναρ συμμίξας τῷ βασιλεῖ· καὶ διδάξας συκοφάντας εἶναι τοὺς διαβαλόντας τοὺς ἀνθρώπους, καὶ τὰ πάντων αὐτῷ δεινότατα ἀπειλήσας, ἣν μὴ λύσῃ ⟨τὴν συμφορὰν⟩, τὰ δίκαια ποιῶν, ἀπέδωκε τοῖς συκοφαντηθεῖσι τὸν βίον. Καὶ ἤρκεσεν ὄνειρος, ὅτι μόνον τὸν ἅγιον ὑπέφαινε, κατασβέσαι τῷ βασιλεῖ τὸν θυμόν.

Ἤδη δὲ καὶ ⟨τοῖς⟩ πλέουσι πολλάκις παρέστη· καὶ διέσωσε τὴν ναῦν κινδυνεύουσαν καταδῦναι, φανεὶς ἐπὶ τῶν οἰάκων· καὶ τὸ τοῦ Σωτῆρος, ἐπιτιμήσας τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ. Καθάπερ γὰρ ἐκείνῳ συνέβη, τῆς θεότητος τὴν ἀνθρωπείαν ἀδυναμίαν ἀποκρυπτούσης, ὑψηλότερον εἶναι αὐτῷ τὸ σῶμα ἔστιν ὅτε τῶν ἀνθρωπίνων, καὶ πεζεύειν μὲν ὕδωρ μὴ καταδυόμενον, φαίνειν δὲ ἡλίου λαμπρότερον, φωνὴν δὲ προΐεσθαι, καὶ ὦτα νεκρῶν ὑποδυομένην. Κατὰ τὰ αὐτὰ καὶ Νικολάῳ τὸ σῶμα, ταῖς θείαις τοῦ Πνεύματος ἐπιπνοίαις, καθάπερ ἤδη τὴν ἀλλοίωσιν τὴν μακαρίαν ἠλλοιωμένον, οὔτε τόπων οὔτε χρόνων ἐδεῖτο, πρὸς τὸ τοῖς ἀποῦσιν ὡς παροῦσι καὶ συνεῖναι καὶ φαίνεσθαι. Καὶ δικαίως· «ὁ γὰρ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει», τοῦ Θεοῦ πρὸς τοὺς φίλους ἐπαγγελία.

Πιστὸς δὲ, τίς δικαιότερος ἀκούειν ἐκείνου, ὃν καὶ μάρτυρά τις καλέσας, κἂν ἀπὸ τῶν ἔργων αὐτῶν προσείποι; Μάρτυρας γὰρ τοὺς ἁγίους ἡγοῦμαι καλεῖσθαι, καὶ τοὔνομα δίδωσιν εἰκάζειν, οὐχ ὅτι δεινὰ πάσχοντες ἀποθνῄσκουσιν· ἀλλ᾽ ὅτι πολλῶν ἐπὶ τὸ ψεῦδος παρακαλούντων, καὶ ἰδίων καὶ τῶν ἐναντίων, αὐτοὶ τἀληθῆ λέγουσι, καὶ τῷ Χριστῷ τὴν θεότητα μαρτυροῦσιν. Ἃ Νικολάῳ συμβάντα, παντὸς μᾶλλον, ἅπαντες σύνισμεν. Χωρὶς δὲ τούτων, τῶν ψυχῶν τοῖς ἀκολάστοις καὶ περὶ τὴν ὕλην

199–200 τὸ – θαλάσσῃ] cf. Luc. 8.24 ὁ δὲ ἐγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος, καὶ ἐπαύσαντο; Marc. 4.39 καὶ διεγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ εἶπε τῇ θαλάσσῃ· σιώπα **202** καὶ – καταδυόμενον] allusio ad Math. 14.25–33 [...] ἀπῆλθε πρὸς αὐτοὺς ὁ Ἰησοῦς περιπατῶν ἐπὶ τῆς θαλάσσης. καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα ἐταράχθησαν [...] **206–207** ὁ – ποιήσει] Ioan. 14.12 [...] ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει

193 ἔτυχον] ἔτυχεν Pseutonkas | ἄμεινον] ἄμεινα Pseutonkas **194–195** διαβαλόντας] διαβαλόντας PM: διαβάλοντας F: διαβαλλοντας (sine accentu) B **195** τοὺς] om. M **195–196** τὴν συμφορὰν] addidi: cf. etiam 3.150 **197** ὑπέφαινε] ὑπέφαινεν P **198** τοῖς] addidi | διέσωσε] διέσωζε Pseutonkas **199** καὶ τὸ] an κατὰ scribendum? | τὸ] τὸ post τοῦ transp. Pseutonkas **201** ἔστιν ὅτε] MFB: om. P **203** τὸ] τῷ F **205** χρόνων] χρόνου Pseutonkas | παροῦσι] παροῦσιν P **209** αὐτῶν] αὐτῶν ex αὐτῷ scr. M[pc] **211** ἰδίων] scripsi: ἡδέων omnes codd. **213** σύνισμεν] M: ἴσμεν FBP

ἔχουσιν, ὥσπερ μεταβαλλομένων ἐπὶ τὴν τοῦ σώματος φύσιν, καὶ δι’ ὧν ἐπιθυμοῦσι καὶ δι’ ὧν λογίζονται, ὥστε καί τις τῶν τοιούτων, ἀπὸ τῶν σωματικῶν ἀγαθῶν τῇ ψυχῇ χαρίζεται, – «ψυχὴ λέγων ἔχεις πολλὰ ἀγαθὰ», ὧν ἕνεκα καὶ ὁ Θεὸς τὸ συνεῖναι αὐτοῖς ἀπεῖπεν, «οὐ μὴ γὰρ καταμείνῃ φησὶ τὸ πνεῦμα μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας», – ἀκόλουθον ἂν εἴη Νικολάῳ τὸ σῶμα· καὶ τοῖς, οἷος ἐκεῖνος, τὸ ἔμπαλιν, ψυχαῖς καὶ νοήμασιν ἐοικέναι.

Ἔτι δὲ, βασιλείαν οὐρανῶν τὴν λῆξιν τῶν δικαίων οἶμαι καλεῖσθαι, ὅτι πάντα κατὰ γνώμην ἀπαντᾷ, τοῖς ἐνταῦθα γενομένοις εὐδαιμονίας. Ἐπὶ μὲν γὰρ τοῦ παρόντος αἰῶνος, οὔτε αἱ ψυχαὶ τυγχάνουσιν ὧν ἐπιθυμοῦσιν, ἀλλ’ ἔστιν ἃ καὶ τὴν ἔφεσιν ὑπερβαίνει, τά τε σώματα αὐταῖς, εἴκει τῷ παντὶ· καὶ δουλεύει ταῖς ἐκεῖθεν ἀνάγκαις· καὶ ψύχεσθαι μὲν, ψυχομένου τοῦ ἀέρος· θερμαίνεσθαι δὲ ἐκεῖνο πάσχοντος, ἀνάγκη· καὶ κινουμένοις, δεῖ καὶ τόπων καὶ χρόνων· καὶ ὅλως, οὐδὲν ἢ δουλεία τὰ παρόντα. Ἐπὶ δὲ τοῦ μέλλοντος, οὗ τὲ ἐφίενται οἱ δίκαιοι τυγχάνουσι τοῦ Θεοῦ, καὶ τὰ σώματα αὐτοῖς, καθαρὰ δουλείας ἁπάσης· καὶ βασιλεύει τοῦ οὐρανοῦ, μηδεμίαν δεχόμενα μεταβολὴν, αὐτοῦ κινουμένου. Ταύτης δὲ τῆς βασιλείας, εἰκὸς εἶναι τοῖς ἀξίοις τινὰς εἰκόνας ἐν τῷ παρόντι· ὧν ἐκεῖνος ἦν ὁ γενναῖος· καὶ διατοῦτο ὑπέφαινεν αὐτῷ τὸ σῶμα, τὴν ἐσομένην ἐλευθερίαν.

Ἄλλωστε, τοῦ Θεοῦ σεμνύνοντος τὸν ἑταῖρον, καὶ δεικνῦντος φιλανθρωπίας ὄργανον εἶναι, καὶ δέον εἶναι, διὰ τούτου ποιεῖσθαι τὰς εὐεργεσίας εἰς τοὺς ἀνθρώπους· καὶ ὅτι, οὔτε τῆς γῆς, οὔτε τῆς ἀνθρωπίνης ζωῆς ἐκείνῳ προσῆκε, τοῦ βίου τὸν οὐρανὸν ἀλλαξαμένῳ· ἀλλ’ ὑπὲρ τοῦ γένους καὶ ἐγένετο την_αρχὴν, καὶ τὸν ἄλλον διετέλεσε χρόνον· ἐπεὶ καὶ τοὺς ἀγγέλους τοῖς ἀνθρώποις συνεῖναι λόγος, οὐ τῆς φύσεως τὴν διατριβὴν ἀπαιτούσης, ἀλλ’ ὑπὲρ μόνης φιλανθρωπίας· οὐ μὴν, ἀλλ’ οὐδ’ ὁ θάνατος ἐποίησεν αὐτῷ τὴν φιλανθρωπίαν ἐλάττω· οὐδ’ ἐκίνησε Νικολάῳ τὴν γνώμην ἡ τοῦ βίου μεταβολὴ· ἀλλὰ τὸν μὲν βίον καταλύει μάλα ὡραῖος· ἵνα κἀν τούτῳ τὸν φιλάνθρωπον ὑποφήνῃ, πολὺν τοῖς ἀνθρώποις συγγενόμενος χρόνον· τὴν δὲ περὶ ἡμᾶς προθυμίαν καὶ τὴν εὔνοιαν, οὐδαμῶς· ἀλλὰ συνεύχεται μὲν τὰ βέλτιστα πᾶσι· σύνεστι δὲ ἕτερον τρόπον· εὐεργετεῖ δὲ καὶ αὖθις οὐδὲν ἧττον, φθάνων τὰς εὐχὰς τῶν εὖ παθεῖν δεομένων.

---

216 ψυχὴ – ἀγαθὰ] Luc. 12.19 ψυχή, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, πίε, εὐφραίνου. || **217–218** οὐ – σάρκας] Gen. 6.3 καὶ εἶπε Κύριος ὁ Θεός· οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας, [...]

215–216 τῇ ψυχῇ] τὴν ψυχὴν Pseutonkas **216** τὸ] om. M **217** φησὶ] M: om. PFB **221** τοῖς – γενομένοις] an τῆς ... γενομένης scribendum? | εὐδαιμονίας] εὐδαιμονία Pseutonkas **222** καὶ] omnes codd.: κατὰ Pseutonkas **223** αὐταῖς] M: om. FBP | εἴκει] PB: ἥκει MF **224** πάσχοντος] omnes codd.: πάσχειν Pseutonkas **225** τόπων] omnes codd.: τόπου Pseutonkas **226** οἱ – Θεοῦ] M: τυγχάνουσιν οἵ γε δίκαιοι, τοῦ Θεοῦ, BPF **227** δεχόμενα] δεχόμενοι Pseutonkas **229** ὁ] om. Pseutonkas **233** τῆς[1]] om. M | προσῆκε] προσῆκεν M **234** ἀλλαξαμένῳ] recte scripsit Pseutonkas: ἀλλαξαμένου omnes codd. | ἐγένετο] ἐφαίνετο falso legit Pseutonkas **241** σύνεστι] omnes codd.: συνέστη Pseutonkas

Καὶ οὕτω θαυμαστὴν δόξαν περὶ αὐτοῦ τοὺς ἀνθρώπους παρεσκεύασεν ἔχειν, ὥστε καὶ ἐπῆλθε τισὶ πολλάκις, τοιαῦτα Νικολάου δεηθῆναι θαρρῆσαι, ἅπερ οὔτε ἡ φύσις τοῖς ἀνθρώποις ἔδωκεν, οὔτε συνεχώρησε προσδοκᾶν. Καί τις ἐν πλῷ πάσης μηχανῆς ἀνθρωπίνης κρείττονι χρησάμενος συμφορᾷ, τοῦ πλοίου τὲ ἐκπεσὼν, τῶν κυμάτων ὑπὲρ κεφαλὴν ὄντων· τοῦ πνεύματος τὴν ναῦν τὲ ἐλαύνοντος, καὶ τοὺς ἐπιβάτας λαβεῖν αἴσθησιν τοῦ πράγματος οὐκ ἐῶντος, τῷ βίᾳ ταῖς ὀθόναις προσπίπτειν, οὐκ ἔχων ᾧ πιστεύσει τὴν σωτηρίαν, Νικολάου τὲ ἐμνήσθη, καὶ ἐδεήθη βοηθεῖν. Καὶ ἅμα τοὔνομα ἐπὶ τοῦ στόματος ἔχων, ἐπάτει τὴν ἤπειρον· οὕτως ἀθρόον, ὥσπερ κινηθέντων τῇ θαλάττῃ τῶν ὄρων, ἢ γῆς ἀπὸ τοῦ πελάγους ἀναδοθείσης. Οὕτως ἐκεῖνος φιλάνθρωπος ἦν· ὥστε ὃν ὁ Παύλου λόγος ποιμένα ἀνθρώπων γράφει, μὴ ψευδόμενον τὴν ἐπωνυμίαν, ἐκεῖνον εἶναι.

Τὸ δὲ σῶμα ποῦ θήσομεν, ὃ τοῖς ἀνθρώποις κατέλιπε καθάπερ κλῆρον πατρῷον, ἀφορμὴν εὐφροσύνης, θησαυρὸν ἀγαθῶν ἁπάντων, τὰς ἐκείνου διαδεξάμενον εἰς ἡμᾶς εὐεργεσίας· μονονοὺ βοῶν πρὸς ἅπαντας, ὅσον ἦν αὐτῷ τὸ φίλτρον εἰς τοὺς ἀνθρώπους· καὶ ὅλως εἰκόνα τῆς ἁγίας ψυχῆς ἐκείνης. Ἐκείνη μὲν γὰρ, ψυχή τε ἦν ἀνθρωπίνη, καὶ τὴν ἐπωνυμίαν ἐνίκα· περὶ τῆς ἁγνείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας, καὶ τοῖς ἀγγέλοις ἀμφισβητοῦσα. Τὸ δὲ σῶμα νῦν, οὔτε ζῇ τὴν ζωὴν ταυτηνὶ τὴν ἀνθρωπίνην, οὔτε ψυχῆς ἔρημον ὂν, καὶ νεκρῶν ἐπωνυμίᾳ προσῆκε· ζῶν δὲ ἕνεκα τοῦ Πνεύματος τοῦ συνόντος καὶ ζῶντος, σημεῖα τὲ ἐκφέρει τῶν ἐκείνου χαρίτων, καὶ πηγὰς ἀνίησι μύρων, μεγάλην βοήθειαν τῇ τῶν ἀνθρώπων εὐδαιμονίᾳ.

Καὶ τὸν μὲν ἄλλον Νικόλαος χρόνον, ὅτε περιῆν ἔτι, φανερὸς ἐγένετο φίλτρον ἄρρητον ἔχων, πρός τε τὸν Θεὸν καὶ τοὺς ὁμοφύλους· νῦν μὲν, ἅμα τῷ παρελθεῖν εἰς τοὺς ἀνθρώπους, καὶ πνεῦμα Θεοῦ φαινόμενος ἔχειν, δι’ ὧν ἐπεδείκνυτο· νῦν δὲ, δι’ ὧν αὐτὸς ὁ Θεὸς ἐνεχείρισεν αὐτῷ τὴν πρόνοιαν τῶν ἀνθρώπων· καὶ τοῦτο μὲν, τὸ σῶμα προέμενος καὶ τὴν ψυχὴν, ὑπὲρ τοῦ μὴ προδοῦναι τὴν ἀληθῆ περὶ Θεοῦ δόξαν· τοῦτο δὲ· ἐλέγχων καὶ βασιλέας καὶ ἡγεμόνας, ὑπὲρ ὧν ἠδίκουν εἰς τοὺς ἐλάττους. Νυνὶ δὲ· τὸν μετὰ τελευτὴν χρόνον, ἀπὸ τῶν μύρων, τὴν εὐσέβειαν καὶ τὴν φιλανθρωπίαν ἐκφαίνει. Καὶ τῷ μὲν Σωτῆρι πλέκει τὸν ὕμνον, δεικνύων αὐτὸν ἀπὸ τῶν περὶ τὸ σῶμα χαρίτων, δίκαιόν τε εἶναι, καὶ φιλότιμον περὶ τὰ γέρα, τοῖς ἀγωνιζομένοις περὶ αὐτοῦ. Συμμιγνὺς δὲ τοῖς ἀνθρώποις διὰ τῶν μύρων, καὶ σώμασι καὶ ψυχαῖς χριστιανῶν ἡδονὴν ὅσην καὶ ὠφέλειαν ἔχων, τὴν φιλανθρωπίαν ἐκφαίνει.

252–253 ὃν – γράφει] allusio ad Eph. 4.11–12 καὶ αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας [...]

---

243 αὐτοῦ] αὑτοῦ P **245** τοῖς ἀνθρώποις] om. PFB | πάσης] FBP: om. M **247** ὄντων] ὄντως Pseutonkas **248** τῷ] τῇ Pseutonkas **250** ἐπάτει] ἐπάγει F **251–252** ἀναδοθείσης] ἀποδοθείσης Pseutonkas **252** ὁ] om. Pseutonkas **255** ἀγαθῶν] om. P **257** μὲν] M: τὲ FPB **258** ἁγνείας] ἀγνοίας Pseutonkas | εὐσεβείας] ante εὐσεβείας verbum τῆς add. M **258–259** φιλανθρωπίας] τοῖς ante φιλανθρωπίας add. M **259** ταυτηνὶ] om. FPB **265** ἐπεδείκνυτο] ἐπεδείκνυντο Pseutonkas **267** προέμενος] προθέμενος Pseutonkas **268** ἐλέγχων] om. B **269** ἀπὸ – μύρων] om. P **273** ἔχων] om. FPB | τὴν – ἐκφαίνει] MFB: ὡς ἀληθῶς ἐμποιεῖ P

Ἀλλ’ ὦ ποιμένων ἄριστε καὶ φιλανθρωπότατε, καὶ πάντα δεύτερα τιθέμενος τοῦ ποιμνίου· ὦ Χριστοῦ μιμητὰ καὶ φίλε καὶ μαθητὰ· ὦ καὶ ἀπόστολος καλεῖσθαι δίκαιος ὢν, καὶ σκεῦος ἐκλογῆς· καὶ φίλος καὶ ζηλωτὴς, καὶ πᾶσαν ἐπωνυμίαν, αἷς ὁ Σωτὴρ σεμνύνει τῶν φίλων τοὺς κορυφαίους· ὦ τὸν Χριστὸν μιμησάμενος, καὶ διὰ τὸ σχῆμα τῆς ἀρχῆς, ὅτι ποιμὴν ἦσθα, καὶ ποιμένων ὁ καλὸς, καὶ δι’ ὧν ἐδέθης, μαρτυρήσας τῇ ἀληθείᾳ. Ὦ παντὸς μὲν πονηροῦ τρόπαιον ἀναστήσας, πάσης δὲ τὴν ψυχὴν ποιησάμενος καλοκαγαθίας εἰκόνα· ὦ κοινωφελὲς ἀγαθὸν. Σὺ μὲν ἔδωκας τυχεῖν ἁπάντων ὧν ἐδεήθην· ηὐξάμην δὲ ἐγὼ ἀντὶ τούτων, τῶν σῶν ἐπ’ εὐφημίᾳ μνησθῆναι. Καὶ δὴ ἤνυσται ὁ λόγος, ὃν ἡ δύναμις ἔδωκε· δέχου τοίνυν ⟨αὐτὸν⟩, καὶ μειζόνων ἀξιώσας χαρίτων, δίδου καὶ τὸν λόγον ὑπὲρ τούτων καλλίω· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

275 Χριστοῦ μιμητὰ] allusio ad 1 Corinth. 11.1 μιμηταί μου γίνεσθε, καθῶς κἀγὼ Χριστοῦ. **276** σκεῦος ἐκλογῆς] Act. 9.15 πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος

278 ἦσθα] PBF: οἶσθα M **280** ἀγαθὸν] ἀγαθῶν Pseutonkas **281** ὧν] FPB: om. M **281–282** δὴ ἤνυσται] διήνυσται Pseutonkas **282** αὐτὸν] addidi **283–284** ἐν – ἀμήν] om. FPB

4. Laudatio s. Theodorae (BHG 1741)

Aufbau und Inhalt der Rede

1–35: Proömium.

36–53: Lob des Heimatlandes der Heiligen.

54–68: Lob der Vorfahren und der Eltern der Heiligen.

69–81: Lob der Tugenden der Heiligen.

82–107 Das Leben der heiligen Theodora bis zum Tod ihres Mannes.

108–227: Das asketische Leben der Heiligen und ihre Tugenden.

228–257: Lob der Heiligen und Vergleich mit Anna, der Mutter Samuels, mit Abraham, Moses, Hiob, Elias und Christus.

258–281: Weiteres Lob und Epilog.

4. Ἐγκώμιον εἰς τὴν ὁσίαν μητέρα ἡμῶν τὴν μυροβλύτιδα καὶ θαυματουργὸν Θεοδώραν. 85v

Ἐμοὶ δὲ, πολλῶν τὰ σὰ θαυμαζόντων ὦ μυροβλύτις, καὶ τοῦτο μὲν τὰ εἰκότα ἀποδιδόντων καὶ ἃ παντὸς μᾶλλον, προσῆκε, τοῦτο δὲ καὶ σφᾶς αὐτοὺς ἐντεῦθεν κοσμούντων, ὁ γὰρ ὑπὲρ σοῦ λόγος καὶ τοῖς λέγουσιν ἐν καιρῷ, εἰκός γε ἐδόκει μὴ μόνον ἐμὲ τῶν περὶ λόγους ἐχόντων, τῶν σῶν χαρίτων ἀτέλεστον φανῆναι· ἀλλὰ τοῖς σοῖς ἐγκωμίοις ἐπιβαλόντα, κοσμῆσαι μὲν ἐμαυτὸν, κοσμῆσαι δὲ καὶ λόγους αὐτοὺς, ἅμα δὲ καὶ οἷς πολλάκις εὖ πεποίηκας, καὶ πολλῶν ὑπῆρξας εἰς ἡμᾶς τῶν χαρίτων, καὶ παντοδαπὸν χρέος οἷς ἔνεστιν ἀποδοῦναι. Ὁ μὲν οὖν παρὼν ἡμῖν ἀγὼν, ὑπὲρ τούτων· ἐργώδη δὲ ὄντα καὶ χαλεπὸν διενέγκαι, τίς ἀγνοεῖ; Ἀλλὰ μάλιστα μὲν οὐ χρὴ δεδιέναι· τῆς μεγάλης οὐ μόνον μεγαλοψυχίᾳ κεχρημένης περὶ τοὺς λόγους, εἴ τις ἐλάττων γίνοιτο τῶν πραγμάτων· ἀλλὰ καὶ τούτοις εὖ μάλα συναιρομένης.

Ἔπειτα εἰ καὶ πάντας τοὺς εἰπόντας ἑώρων, ἢ μηδὲν ἐλλείποντας τῶν γινομένων, [86r] ἢ τοῦτο γοῦν σπουδὴν ποιουμένους, ὅπως ἂν ἐφίκοιντο, ἣν ἄν τι προὔργου καὶ ἡμᾶς, ἢ τὸ προσῆκον ἐν τοῖς λόγοις διώκειν, ἢ μὴ τοῦτο ποιοῦντας, ἡσυχίαν ἄγειν· ἐπεὶ δ᾽ οὐχ ὅσον ἐκείνοις ἀλλὰ καὶ πᾶσιν ἁπλῶς τοῖς ἐν λόγοις ζῶσιν, ἐπιβαλοῦσι τοῖς ὑπὲρ τῆς μυροβλύτιδος λόγοις, οὐκ ἂν ἐπέλθοι, μὴ μόνον οὐδὲν εἰπεῖν ἐγγὺς τῶν πραγμάτων, ἀλλ᾽ οὐδ᾽ ἐλπίσαι. Περίεργον ἂν εἴη μόνον ἐμὲ τῶν εἰπόντων, ταῦτα περιεργάζεσθαι παρὰ πάντα δὲ ταῦτα· εἰ μετὰ τούτων δεῆσαν τῶν λογισμῶν ἀπαντᾷν εἰς τουτουσὶ τοὺς ἀγῶνας.

Καὶ οὗτος ἀεὶ τοῖς λέγουσι κείσεται νόμος, ἢ παρέχεσθαι τὴν γλῶτταν τῶν ὑποθέσεων ἀξίαν, ἢ σιωπᾷν, τά γε μείζω τῶν ἐπαίνων καὶ πᾶσαν ἀντεξέτασιν ὑπερβάντα, ἐντεῦθεν οὐ τῶν εἰκότων τεύξονται, τοῦ ἐπαινοῦντος ἀποχρώντως οὐκ ὄντος· καὶ συμβήσεται καθάπερ αἴνιγμα τοῖς πράγμασιν· ἀνθ᾽ ὧν γὰρ ἀνάγκη θαυμάζεσθαι τῶν ἄλλων διαφερόντως, ἀντὶ τούτων, οὐδεὶς ὑπὲρ αὐτῶν ἐρεῖ. Ἐγὼ δὲ καὶ τοῦτο λέγω, παντὸς μᾶλλον ἀληθείας μετέχον· ὡς ἄρα, οἷς ὑπὲρ τῶν πραγμάτων ἐστὶ τὸ πάντας τοὺς ὑπὲρ τούτων λόγους κάτω πεσεῖν, ἀνάγκη πᾶσα τοὺς λέγειν ὡς ἀληθῶς ὑπὲρ τούτων ἐπιχειροῦντας, καὶ συνήδεσθαι τῆς ἀξίας ἀποτυγχάνοντας· μὴ [86v] ὅτι γε δυσχεραίνειν, τῷ μεγέθει τῶν ἐπαινουμένων ὥσπερ φθονοῦντας· τὰ γὰρ παρὰ τῆς γνώμης συμπίπτει, εἴπερ οὐχ ὑπὲρ σφῶν αὐτῶν, ἀλλ᾽ ὑπὲρ τῶν πραγμάτων ὁ λόγος αὐτοῖς. Εἰ γὰρ χρὴ τἀληθὲς εἰπεῖν, ἐκείνοις ἐγχειρεῖν μάλιστα τῶν ἄλλων προσήκει, ἅπερ ἂν ἡττωμένους τοὺς λόγους ἐξελέγξῃ φανερῶς. Ἐπεὶ δὲ οὕτω ταῦτα,

A

4, 6 περὶ – ἐχόντων] supra erasa verba scr. A^{p1c} **8–9** πολλάκις – χαρίτων] supra erasa verba scr. A^{p1c} **10** ἀγνοεῖ] post ἀγνοεῖ verba ἢ καθ᾽ ἡμᾶς δ᾽ αὐτὸς ἀγνοῶ erasit A^{pc} **12** εἴ – πραγμάτων] in marg. inferiore add. A^{p1c} **14** ἢ – ἐφίκοιντο] supra erasa verba scr. A^{p1c} **15** προσῆκον – λόγοις] supra erasa verba scr. A^{p1c} **16** τοῖς^{1} – ζῶσιν] supra erasa verba scr. A^{p1c} | ζῶσιν] verbum ανθρώποις post ζῶσιν del. A^{p1c} | ἐπιβαλοῦσι] an verbum τοῖς ante ἐπιβαλοῦσι scribendum? **17–18** οὐκ – πραγμάτων] supra erasa verba scr. A^{p1c} **18** ἀλλ᾽ – ἐλπίσαι] in marg. add. A^{p1c} **19–22** παρὰ – σιωπᾷν] supra erasa verba scr. A^{p1c} **24–25** καὶ – ἐρεῖ] supra erasa verba scr. A^{p1c}

καὶ λέγειν διὰ πάντων ἀνάγκη, Θεοδώρα μὲν καθάπερ ἐν πᾶσι τοῖς ἄλλοις οὕτως ἡμῖν κἀνταῦθα χεῖρα ὀρέξοι καὶ οὐκ ἐάσοι τοὺς λόγους ἥττους πολλῷ φανῆναι τῶν ἄλλων περὶ αὐτῆς εἰρημένων· κἂν εἰ τῶν αὐτῆς χαρίτων ἡττηθῆναι πᾶσα ἀνάγκη.

Ἡμῖν δὲ, νόμου πᾶσι κειμένου τοῖς ἐγκωμιάζειν ἐπιχειροῦσι πατρίδος πρῶτα μνησθῆναι, εἰκὸς ἂν εἴη δήπουθεν ἐκεῖθεν ἀρξαμένοις ἔπειτ' ἀκολούθως ἐπὶ τ' ἄλλα προβαίνειν· ἔστι τοίνυν αὕτη νῆσος· τῶν ἐν Ἑλλάδι κεφάλαιον εἵνεκα μὲν μεγέθους καὶ κάλλους καὶ θέσεως, μείζω καθάπαξ τῶν προσοίκων ἀναφανῆναι· καὶ οὕτω 87r μεγίστῳ παραλλάττειν τῷ μέσῳ, ὡς καὶ δοκεῖν πάσας τὰς νήσους ὥσπερ οὐκ ἀνταίρειν ἐχούσας, Αἰγίνῃ μεθ' ἡδονῆς τῶν πρεσβείων ἐν πᾶσι παραχωρεῖν· ὡρῶν δὲ καὶ ἀέρων καὶ τοῦ κατ' ἀμφότερα γινομένου, οὕτω τετυχηκέναι λαμπρῶς, ὥστε μόνην ταύτην δοκεῖν καὶ τῆς περὶ πάντα ταῦτα συμπάσης εὐδαιμονίας, ὡσπερεὶ πρυτανεῖον εἶναι· ταῖς ἄλλαις καὶ χορηγεῖν ἔχειν ἐντεῦθεν μετὰ πολλοῦ τοῦ περιόντος, δι' ὧν αἱ πόλεις ἀμείνους. Εἰ δὲ καὶ μεῖζον ὅτου τις ἂν εἴποι πρὸς δόξαν καὶ τὸ κατὰ τοὺς πολίτας εὖ ἔχον, κἀντεῦθεν μάλιστα πάσαις τὸ νικᾶν περιγίνεται, καὶ οὕτω τὸ κατ' αὐτὴν δείκνυται προὖχον· οὕτω γὰρ πᾶσι τοῖς ἄλλοις περιττῶς φιλοτιμουμένη· μείζων εἰς δόξαν ἡ θαυμαστὴ τῶν οἰκούντων ἐπιτυχία, καὶ τὸ διαπάντων ἐλθοῦσαν, ὡς μηδενὸς ἐνδεῖν ὧν γε πόλεσι μάλιστα δεῖ, καὶ τοὺς πολίτας καταλλήλους κεκτῆσθαι· οὕτω γὰρ χρηστότητι τρόπων, καὶ ἠθῶν εὐκοσμίᾳ καὶ πᾶσιν οἷς ἀνθρώπῳ πρὸς τρόπου πάντας νικῶσιν, ὡς ἐπιεικῶς τῇ πατρίδι προσήκοντας, καὶ 87v τοῖς ἐκεῖθεν ἐπαίνοις ὡς οἰκείοις σεμνυνομένους, οὕτως αὐτῇ συναύξειν εὖ μάλα τὰς εὐφημίας, ὡς ἑκατέρους ἀλλήλους κοσμεῖν καὶ δι' ἀλλήλων ἑκατέρους εὐδαιμονεῖν.

Τούτων δὲ, τὸ μέγιστον μέρος, οἱ θαυμαστοὶ τῆς μεγάλης πρόγονοι· καὶ οἱ αἴτιοι γεγονότες αὐτῇ τῆς εἰς τὸν βίον προόδου· τοσοῦτον γὰρ καὶ πλούτῳ καὶ δόξῃ καὶ τῷ γένους εὖ ἔχειν καὶ τρόποις χρηστοῖς· καὶ τῷ θεοφιλεῖς εἶναι καὶ πᾶσιν ὡς εἰπεῖν τοῖς βελτίστοις παρὰ τῶν πολιτῶν τὸ συγκεχωρηκὸς ἔσχον, ὅσον οὗτοι καὶ τούτοις καὶ πᾶσι τοῖς ἄλλοις τῶν ἄλλων ἐκράτησαν. Τίς οὐκ οἶδεν Ἀντώνιον, ὃς εἰς τοὺς ἱερᾶσθαι λαχόντας τελέσας, καὶ πάντας ἐν πᾶσιν ὑπερνικήσας, ἔδειξεν ἐναργῶς ὁποῖον εἶναι

33–38 λέγειν – κεφάλαιον] Infra λέγειν … κεφάλαιον verba τέλος λόγου **38** κεφάλαιον] post κεφάλαιον rasura quattuor linearum | εἵνεκα] ante εἵνεκα verba ὑπὲρ παν τῶν ἀναγκαίων ἐμοι ….. τις τοῦ εἰ/ἤκειτ/να καὶ ἅ/ἅγε….λη…. …α….πολ…καὶ καλῶν…μεγάλων….. ἐνταῦθα χεῖρα ἀ…εις……τούς λόγους τοῦ γινομένου καθάπαξ ἄξ/ζω…. οὖσα καὶ ἃ πρὸς ἔθους τὰ τη….. νόμους πᾶσι κεῖται τοῖς ἐγκωμιάζειν ἐπιχειροῦσι, πατρίδος πρῶτον μεμνῆσθαι, ἄριστον ἂν εἴη καὶ ἡμᾶς ἐντεῦθεν ἀρξαμένους ἐφεξῆς ἢ ἄλλως χωρεῖν· ἔστι τίην/κῆν αὐτῇ τὸ θαμτης ὡς ras. A^{p1c} **41** Αἰγίνῃ] verbum μόνῃ post Αἰγίνῃ ras. A^{p1c} **42** οὕτω] οὕτω ex οὕτως scr. A^{pc} | τετυχηκέναι] τετυχηκέναι ex ἐτετυχήκει scr. A^{pc} **43** καὶ] supra lineam scr. A **44** εἶναι] supra lineam scr. A, post εἶναι verba ὡς καὶ expunxit A^{p1c} **44–45** περιόντος] post περιόντος verba ἃ γε σεμνύνειν οἶδε καὶ πόλεις καὶ πολλῷ τιθέναι μείζονας· expunxit A^{p1c} **45** δι' – ἀμείνους] verba in marg. add. A^{p1} **47–48** φιλοτιμουμένη] post φιλοτιμουμένη verba καὶ κατὰ πασῶν τὸ κράτος ἐχούσῃ, καὶ τὴν νικῶσαν ἐν ἅπασι φερομένῃ expunxit A^{p3c} **48** διαπάντων] post διαπάντων verbum ἐληλακυῖαν expunxit et verbum ἐλθοῦσαν in marg. add. A^{p1c} **51** τῇ πατρίδι] supra erasa verba scr. A^{p1c} **54** Τούτων] ante τούτων verba καὶ προύχειν, ἔχειν ἐν ἅπασι (supra verbum ἅπασι verbum τίνων expunxit A^{p1c}) expunxit A^{p1c} **55** τοσοῦτον] verbum ὡς ante τοσοῦτον eras. A^{p1c} | γὰρ] verbum γὰρ post τοσοῦτον scr. in margine A^{p1c} **58** Ἀντώνιον] post Ἀντώνιον verba τὸ μέγα παρὰ πᾶσιν ὄνομα erasit A^{p1c}

χρὴ κἀν τοῖς ἔργοις, τὸν τοιαύτην ἐσχηκότα πρόσρησιν· ὅς γε τῶν αἱρετιζόντων ἐπικειμένων καὶ τῆς ἐντεῦθεν ἀχλύος ἐπισκοτούσης τῇ ἐκκλησίᾳ, μόνος τῶν πάντων ὥσπερ αἰετὸς ἐν νεφέλαις, τοῦ κλύδωνος ὑπερσχὼν, ἀνώτερος ὤφθη τῶν ἐκεῖθεν διαύλων; Καὶ μὴν· καὶ Χρυσάνθην τίς οὐκ ἂν ἀγάσαιτο· οὐκ εὐσεβείας εἵνεκα μόνον καὶ ἧς εἶχε περὶ ταύτην σπουδῆς ὥστε τοῦτο μὲν αὐτὴν πάντα παθεῖν ἔχειν ἑτοίμως ἢ [88r] ταύτης καὶ μικρὸν ἀποστῆναι, τοῦτο δὲ καὶ τοῖς ἄλλοις ὥσπέρ τις κοινὸς μελεδωνὸς εὐσεβείας καθίστασθαι, ἀλλὰ καὶ τῆς τῶν τρόπων μουσικῆς καὶ τῆς κατ' ἀρετὴν ἐργασίας, ἐξ ὧν γε προσήκειν εἶχεν Ἀντωνίῳ, καὶ τῆς μεγάλης ταυτησὶ συζυγίας ἀξιόχρεως εἶναι;

Οὕτω δὲ ἔχουσι καὶ οὕτω πάντα τὰ βέλτιστα συνελοῦσι. Βέλτιστοι διὰ πάντων καὶ δοκοῦντες ἦσαν καὶ ὄντες· καὶ μόνοι πάντα τὰ βέλτιστα συνειλόχασιν ὥσπερ φιλονεικοῦντες μηδενὸς τῶν ἀγαθῶν ἐλληλεῖφθαι· ὧν γε πάντων τὸ μέγιστον καὶ οἱονεὶ κολοφὼν, καὶ μάλιστα πάντων ὧν εἶχον ἐκείνους κοσμοῦν, ἡ μεγάλη καὶ θαυμαστὴ Θεοδώρα· τεκμήριον ἐναργὲς ἀναφανεῖσα σφίσι θεόθεν, τοῦ πρὸς αὐτοὺς αὐτοῦ διακειμένου καὶ ἵλεω· ὥσπερ ἐντεῦθεν ἐπιεικῶς ἐπιδειξαμένου, ὅσου τινὸς ἄγει τἀκείνων, καὶ ὡς ἀντ' ἄλλου τινὸς ἢ πρὸ παντὸς ἄλλου γέρως δέδωκε σφίσι τὴν παῖδα· ἐπὶ τοσοῦτον ἥκουσι καλοκαγαθίας καὶ τοῦ διὰ πάντων ἐλᾶσαι. Οὕτω διὰ γυναικῶν, βελτίστη διαπάντων τυγχάνεις καὶ πάντα καταλλήλως ἔσχες σαυτῇ, τήν τε πατρίδα, τούς τε τοκέας, ἵνα σοι πανταχόθεν εἴη τὸ εὔδαιμον· καὶ διὰ πάντων νικῴης. Εἰ δὲ καὶ τούτων οὐ μόνον ἀξιόχρεως ἀνεφάνης αὐτὴ ἀλλὰ καὶ πολλῷ θαυμαστοτέρα καὶ μείζων· καὶ κρείττονας σφῶν αὐτῶν ἀνέδειξας οἷς ἐκόσμησας, τίς [88v] οὐκ οἶδε τῶν πάντων;

Τοὺς μὲν οὖν ὑπερφυεῖς ἐκείνους ἀγῶνας καὶ τὰ μεγάλα ἐπὶ φιλοσοφίᾳ σκάμματα, ἐν οἷς πολλοὺς ἐπὶ φιλοσοφίᾳ θαυμαζομένους, ἡττωμένους καὶ κάτω χωροῦντας ἔδειξας περιφανῶς, αὐτίκα ἐροῦμεν. Ἃ δὲ τούτων ὥσπερ προτελείας ὑπέθου καὶ τῶν μεγάλων προοίμια, πῶς οὐ πρὸς ἔκπληξιν πάντας ἐνάγει καὶ θαῦμα, καὶ τῶν εἰσέπειτ' ἐσομένων μάντεις σαφεῖς ἀναδείκνυσιν; Εἰς παῖδας μὲν οὖν ἐτέλει· ἀλλ' οὐ κατὰ παῖδας εἶχε τὸ φρόνημα· οὐδ' εἰς παιδιὰς ἑώρα καὶ τὴν ἐκεῖθεν τέρψιν τῆς ἀρετῆς ἐτιμᾶτο· ἀλλ' ἔχαιρε μὲν ταῖς θείαις διατριβαῖς τὰ θεῖα παιδευομένη· ἡμιλλᾶτο δὲ καὶ συνῆν, οὐ ταῖς τῶν ἐναντίων ἐρῶσαις, εἰδυῖα καὶ τὸ κακοῖς συνοικεῖν πρὸς ἐλαττώματος ὤν· ἐκείνων δ' ἐξήρτητο καὶ ταύταις μόναις συνέζη, ἃς ὁ φιλοσοφίας ἔρως κατέσχε καὶ τοῦ συνεῖναι Θεῷ· μόνην γὰρ εὐδαιμονίαν ἡγεῖτο, ἃ κεχαρι- [89r] σμένα τυγχάνει θεῷ, καὶ πρὸς ἀρετὴν φέρει καὶ τῶν ἀρρήτων κοινωνοὺς ἐργάζεται.

---

64 ὥστε – αὐτὴν] supra erasa verba scr. A^{p1c} **67** γε] verbum μᾶλλον post γε eras. A^{p1c} **69** δὲ – συνελοῦσι] verba in marg. add. A^{p1c} **72** καὶ[1] – κοσμοῦν] verba in marg. add. A^{p1c} **77–79** τήν – νικῴης] verba in marg. add. A^{p1c} **83** πολλοὺς – φιλοσοφίᾳ] in margine sinistra scr. A^{p1c} | θαυμαζομένους] verbum θαυμαζομένους supra erasum verbum A^{p1c} **87** φρόνημα] post φρόνημα verba ὥσπερ οἶμαι τε ....καινώ, πη...τῆς τέ διὰ πάντων κεκληρωμένης expunxit. A^{p1c} et verba καὶ ἄλλως πασα ᾇτο..... scr. A^{p1c} et ras. A^{p2c} **88** παιδευομένη] post παιδευομένη verba εὐσέβειαν ἐξασκουμένη expunxit A^{p1c} **89** τῶν – ἐρῶσαις] τῶν ... ἐρώσαις supra erasa verba scr. A^{p1c} | ἐρῶσαις] post ἐρώσαις verba βουλομέναῖς erasit A^{p1c} **91** ἡγεῖτο] post ἡγεῖτο ex verbis τὸ πράττειν ἐκεῖνα μόνα καὶ περὶ πλείονος ἄγειν καὶ τῶν καθ' ἑαυτὴν verba ος υλυῖα scr. A^{p1c} et ras. A^{p2c}

Οὕτω τοίνυν τὴν ψυχὴν παρεσκευακυῖα, ὡμίλησε μὲν γάμῳ· ὡμίλησε δὲ οὐδὲν μᾶλλον· ἀλλὰ τοσοῦτον ἐδέησεν ὑφεῖναί τί παρὰ τὸν γάμον τοῦ περὶ τὰ βέλτιστα τόνου, ὥστε καὶ πολλῷ μείζων ἦν εἰς φιλοσοφίαν· οὐκ εἰς τρυφὰς ὁρῶσα καὶ ἡδονὰς καὶ τὴν ἐντεῦθεν ῥᾳστώνην· οὐδὲ δόξης ἡττωμένη καὶ πλούτου· μόνῳ γὰρ Θεῷ καὶ τοῖς ἐκείνου προσεῖχε· καὶ τὴν ἐπιθυμίαν πρὸς ἐκεῖνον ἔτεινε μόνον· καὶ πάντα τὰ καθ' αὑτὴν κατὰ τὴν ἐκείνου γνώμην διώκει· καὶ ὅλως ἐκεῖθεν τὰ τῆς σωτηρίας ἐξῆπτε πείσματα· καὶ ὡς ἀληθῆ λέγω, δῆλον ἐκεῖθεν· ἐπεὶ γὰρ τῆς πατρίδος ἀπαναστᾶσα τῶν βαρβάρων σφοδρῶς ἐπιτιθεμένων, τὴν Μακεδονίαν ᾤκει καὶ μήτηρ ἐγένετο, τὸ πρῶτα τεχθὲν, κατὰ τοὺς Παύλου θεσμοὺς, πρὸς τὸν ποθούμενον ἄγει Θεὸν· καὶ ἱερᾷ συνοικίᾳ παρθένων ἁγίων, φέρουσα τὴν παῖδα δίδωσι. Εἰ τοίνυν τὸ
89v κτημάτων ἀπονεῖμαι μοῖραν Θεῷ πολλοῦ τινος ἄξιον καὶ θεοφιλοῦς ἂν εἴη ψυχῆς, πῶς οὐχὶ πᾶσαν ἐπαίνων ὑπερβολὴν ὑπερβαίνει τὰ τῆς μεγάλης, οὐ κτημάτων μοῖραν οὐδ' ἄλλό τι τῶν τοιούτων, ἀλλὰ τὸ μέγιστον πάντων, τὰς τῶν οἰκείων σπλάχνων γονὰς προσαγαγούσης Θεῷ; Οὕτω, τίμιον καὶ ἅγιον καὶ ἀμίαντον, κατὰ τὴν Παύλου φωνὴν τὸν γάμον ἀνέδειξεν· ὅλον καθάπαξ ἀναθεῖσα Θεῷ.

Εἶεν· ταῦτα μὲν δὴ, τοιαῦτα· τοῦ δὲ, ἀνδρὸς ἀπελθόντος ἐξ ἀνθρώπων, εὐθὺς ἐκείνη, οὐκέτι παῖδα· οὐδ' ἄλλό τι τῶν ἔξωθεν· ἀλλ' ἑαυτὴν θυσίαν ζῶσαν προσάγει ἁγίαν εὐάρεστον, ἡ καὶ πρόσθεν οὐδὲν ἧττον ἀνημμένη Θεῷ· καὶ μετὰ τῆς παιδὸς γίνεται· καὶ τρίχα τέμνει· καὶ τὰ τῆς θείας φιλοσοφίας διὰ πάντων τελεῖται· χαίρουσα μὲν καὶ συγχαίρουσα ἑαυτῇ τῆς περὶ πάντα τὰ κάλλιστα εὐδρομίας, τῷ δὲ Θεῷ χάριν
90r εἰδυῖα τῆς θαυμαστῆς ταυτησὶ κηδαιμονίας, ἣν περὶ αὐτὴν μεγαλοπρεπῶς ἐπεδείξατο· ὧν ἐξ ἀρχῆς ἤρα· καὶ δι' εὐχῆς ἐποιεῖτο τῶν πάντων, τούτων ἀπολαύειν παρασκευάσας. Ἡ μὲν οὖν οὕτω γενναίως ἀποδυσαμένη πρὸς τοὺς κατὰ φιλοσοφίαν ἀγῶνας, καὶ οὕτως ἑαυτὴν παρασκευασαμένη, ὡς οὐχ ὅσον πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ καὶ πρὸς ἀρχὰς καὶ πρὸς ἐξουσίας ἀνταγωνίσασθαι, ἐφ' οὕτω τοι προέβη τῆς τύχης καὶ οὕτω τῷ τῶν ἀγώνων ὑπερφυεῖ πάντας ἐξέπληξε καὶ πρὸς τοσοῦτον ἤγαγε

4, 101–102 τὸ – Θεὸν] allusio ad 2 Moses 13.2 || **106–107** τίμιον – ἀνέδειξεν] Hebr. 13.4 Τίμιος ὁ γάμος ἐν πᾶσι καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός || **109–110** ἑαυτὴν – εὐάρεστον] allusio ad Rom. 12.1 παρακαλῶν οὖν ὑμᾶς [...] παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ [...] || **116–117** οὐχ – ἀνταγωνίσασθαι] allusio ad Eph. 6.12 ὅτι οὐκ ἔστι ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ αἰῶνος τούτου

94–95 ἐδέησεν – φιλοσοφίαν] supra erasa verba scr. A^{p1c} **96** πλούτου] post πλούτου verba ταῦτα γὰρ τοῖς ἁγι/αν/θώι~~ἀγαθοῖς~~ τῶν ἀνθρώπων παλῆκε expunxit A^{p1c} **101** ἐγένετο] post ἐγένετο verbum παίδων erasit A^{p1c} **106** προσαγαγούσης] supra erasum verbum scr. A^{p1c} | Θεῷ] post Θεῷ verba Οὕτως ὡς ἔφην μόνῳ Θεῷ καὶ τοῖς ἐκείνου προσεῖχε, καὶ τὴν ἐπιθυμίαν πρὸς ἐκεῖνον ἔτεινε μόνον, καὶ πάντα τὰ καθ' αὑτὴν κατὰ τὴν ἐκείνου γνώμην διώκει expunxit A^{p3} | Οὕτω] ante οὕτω verba μόνην γὰρ πά[...] erasit A^{p1c} **108** τοιαῦτα] post τοιαῦτα verba τὰ δ' ἐντεῦθεν expunxit A^{p1c} | τοῦ] ante τοῦ verba οὕτως ὑπερφυῆ, ὡς καὶ καθ' αὑτὰ τὴν ἅμιλλαν ἔχειν erasit A^{p1c} **111** τὰ – φιλοσοφίας] supra erasa verba scr. A^{p1c} **114** ἐποιεῖτο] post ἐποιεῖτο verba καὶ περὶ πλείονος ἦγε erasit A^{p1c}

θαύματος, ὥστε ἔδοξε μικροῦ καὶ τὸν ἄνθρωπον ὑπερβαίνειν. Πρῶτον μὲν οὖν ταπεινοφροσύνην καὶ ἀγάπην τὰς τῶν ἀγαθῶν πάντων αἰτίας, ἃς ἐπείπερ οὐ μόνον πασῶν ὑπερκειμένας ἑώρα, ἀλλὰ καὶ κρηπῖδας συμπάσης ταυτησὶ τῆς θείας φιλοσοφίας, τοῦτο μὲν τῶν θείων ἐπιταγμάτων· νομοθετούντων· τοῦτο δὲ καὶ πρὸς αὐτῆς αὐτὴ τοῦτο πεισθεῖσα, ὡς ἄρ' οὐκ ἔστιν οἰκοδομεῖν μὴ τῶν κρηπίδων ὑποκειμένων, ἐπεὶ τοίνυν ταύτας οὕτω μεγίστας καὶ πολλοῦ τινος ἀξίας ἑώρα, οὕτως ὑπερφυῶς ὑπέθετο τῶν ἀγώνων καὶ οὕτω κατώρθωκεν, ὡς μηδὲν ἐλλείπειν τῶν γινομένων. Τὸ 90v
τοιαύτην οὖσαν, καὶ οὕτω πᾶσι τοῖς καλλίστοις σεμνυνομένην· καὶ συνέσει καὶ ἀγχυνοίᾳ παρὰ πασῶν φερομένην τὸ κράτος, ἔπειθ' ὑφ' ἑτέρᾳ τάττειν ἑλέσθαι, καὶ ταύτῃ μόνῃ τὰ τῆς σωτηρίας πιστεύειν, δῆλον ὃ λέγω ποιεῖ· ἔπειτα, τὸ τοῖς νεύμασιν ἐκείνης ἀκολουθοῦσαν, μηδὲ τῶν εὐτελεστάτων ἔργων ἀπέχεσθαι, ἀλλὰ τοσοῦτον καὶ τούτοις προσέχειν ὅσον οὐδεὶς τοῖς ὡς ἑτέρως ἔχουσι· καὶ μὴ μόνον εἰς ἀγορὰν ἐμβάλλειν καὶ διατίθεσθαι καὶ ὠνεῖσθαι, ὧν ἔδει τῇ ξυνοικίᾳ, ἀλλὰ καὶ ἄχθος φέρειν, δεῆσαν, καὶ πῦρ ἀνακάειν, καὶ χύτραν ἕψειν· καὶ ὅλως, τὸ πάντα πράττειν ἃ τοῖς εὐτελεστάτοις ἐφεῖται, ἔπειτ' ἐπεὶ πᾶσι τούτοις μὴ μόνον τὸ μηδὲν ἑαυτὴν ἡγεῖσθαι, ἀλλὰ καὶ σκώληκα καὶ ὄνειδος ἀνθρώπων καὶ τὰ τοιαῦτα προσαγορεύειν, πῶς οὐ ταπεινοφροσύνης μείζονος ἢ παραβάλλεσθαι; Ἥ γε τῆς ἀρετῆς προκαλουμένης ἐπὶ τὸ καὶ ἑτέρων ἐπὶ φιλοσοφίᾳ προστατεῖν, καὶ πάντων εἰς τοῦτο παρακαλούντων, 91r
οὐδ' ἄκροις ὠσὶ τὸ πρᾶγμα ἐδέξατο ὑπὲρ ἑαυτὴν εἶναι νομίσασα· τοσοῦτος ἦν ἐκείνῃ τοῦ μετρίου λόγος.

Τῆς δὲ περὶ τὸ θεῖον ἀγάπης· καὶ τοῦτο μὲν ἀπόδειξις ἐναργὴς, τὸ· πάντα ταῦτα φέρειν διὰ τὸν περὶ αὐτὸν ἔρωτα, καὶ μὴ ὅτι γε χαίρειν τοῖς δυσχερέσιν, ἀλλὰ καὶ δυσχεραίνειν ὅτι μὴ πλείω τὰ δυσχερῆ· καὶ πρό γε τούτων καὶ μετὰ τούτων, τὸ τοῖς ὑπερφυέσιν ἐπιβάλλειν ἀγῶσι· καὶ νῦν μὲν νηστείαις καὶ ἀγρυπνίαις, νῦν δὲ δυσχε-

---

134 σκώληκα – προσαγορεύειν] allusio ad Ps. 21.7 ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ || **140–141** ὅτι – δυσχερῆ] allusio ad Rom. 12.9–15 Ἡ ἀγάπη ἀνυπόκριτος. [...] χαίρειν μετὰ χαιρόντων καὶ κλαίειν μετὰ κλαιόντων.

---

119 ὥστε – ὑπερβαίνειν] supra erasa verba scr. A^{p1c} | ὑπερβαίνειν] post ὑπερβαίνειν verba οὐρανοῦ καὶ δὴ κατιοῦσαν, ἐφῷ τὰ τῇδε κοσμήσειν καὶ τὸν τῆς φιλοσοφίας ὅρον σαφῶς ἐπιδείξεσθαι· expunxit A^{p1c} **125** ὡς] post ὡς verba μὴ μόνον erasit A^{p1c} | μηδὲν – γινομένων] μηδὲν τῶν γινομένων ἐλλείπειν signum hastae supra verbum τῶν γινομένων ἐλλείπειν positum ad locum ante τῶν spectare videtur A | τῶν γινομένων] post τῶν γινομένων verba ἀλλὰ καὶ πάντας ἁπλῶς erasit A^{p1c} | Τὸ] ante τὸ verba τοὺς ἀποδυσαμένους εἰς τουτονὶ τὸν ἀγῶνα τοσοῦτον νενικηκέναι, ὅσον οὐδὲ παραβάλλεσθαι· πρῶτον μὲν οὖν expunxit A^{p2c} **127** παρὰ] παρὰ ex κατὰ scripsit A^{p1c} | τάττειν] post τάττειν verbum ἑλέσθαι supra lineam add. A^{p1c} **128–129** νεύμασιν – ἀκολουθοῦσαν] supra erasa verba scr. A^{p1c} **128** νεύμασιν] ante νεύμασιν verbum τ̣ο̣ῖ̣ς̣ erasit A^{p1c} **129** ἀκολουθοῦσαν] post ἀκολουθοῦσαν verbum ...αν erasit A^{p1c} **130–132** καὶ² – ἕψειν] in marg. inferiore add. A^{p1c} **132** καὶ ὅλως] ante καὶ ὅλως verba καὶ νῦν μὲν ἄχθος φέρει διὰ τῆς ἀγορᾶς· νῦν δὲ πῦρ ἀνακάειν καὶ τὰ πρὸς χρείαν ἕψειν ταις ἄλλαις, expunxit A^{p1c} **136** ἐπὶ φιλοσοφίᾳ] supra erasa verba scr. A^{p1c} **139** δὲ] δὲ ex δ' ἦ̣ν̣ scripsit A^{p1c} | περὶ] ante περὶ verbum εἶχε expunxit A^{p1c} | ταῦτα] ταῦτα ex ταῦθ' scr. A^{p1c}, post ταῦτα verbum ὑπομένειν expunxit A^{p1c} **140** φέρειν – ἔρωτα] add. in marg. A^{p1c} **142** ἀγῶσι] post ἀγῶσι verba τοῦ πρὸς αὐτὸν εἵνεκα πόθου expunxit A^{p3c}

ρείαις ἁπάσαις ὑπὲρ τὸ μέτρον τὸ σῶμα διδόναι· καὶ ὅλως ἐκείνοις πᾶσιν ἐγχειρεῖν, ἐξ ὧν τὸ μὲν ὑποπίπτειν, τὴν δὲ ψυχὴν αὔξειν περιγίνεται· οὐχ ἧττον δὲ τούτων εἰ μὴ καὶ μείζων, τὸ· πᾶσι τοῖς ἀνθρώποις οὕτω κεχρῆσθαι, ὡς καὶ τῶν καθ' αὑτῶν τἀκείνων περὶ πλείονος ἄγειν. «Ὁ γὰρ τὸν ἀδελφὸν» φησὶν «ἀγαπῶν, καὶ τὸν Θεὸν ἀγαπᾷ·» καὶ οὐκ ἔστιν οὐδὲν ὃ χωρὶς ἑτέρου συσταίη ποτ' ἂν· ἀλλὰ τὸν τῷ Θεῷ κεχρημένον, καὶ τοῖς ἀνθρώποις κεχρῆσθαι· τὸν δ' αὖ τοὺς ἀνθρώπους φιλοῦντα,
91^{v} ἀνάγκη πᾶσα καὶ τὸν Θεὸν ἀγαπᾷν· ἐντεῦθεν αὐτῇ τὸ πάσαις πάντα διακονεῖν· ἵνα μὴ διακονοῖτο· Χριστὸν μιμουμένη, καὶ κατ' ἴχνος ἐκείνου βαίνουσα.

Οὕτω τοίνυν τὰς μεγίστας ὑποθεμένη τῶν ἀρετῶν, οὕτω καὶ τῶν ἄλλων εἰς ἄκρον ἤλασεν, ὡς μηδ' ἐν ταύταις, μηδενὶ τῶν ἁπάντων ὑπερβολὴν λελοιπέναι· ὅλως γὰρ τεσσάρων οὐσῶν τῶν γενικωτάτων· φρονήσεως μὲν οὖν πέρι, ἐκεῖνο λέγω· ὡς εἴ γε γνώσεως ὅρος ἔστὶ τῆς μεγίστης τὸ, ᾗ ὄντα ἐστὶ τὰ ὄντα εἰδέναι, καὶ μὴ ἀσύνετον εἶναι περὶ ταυτὶ, πῶς οὐ πάντα φρονήσεως ὅρον ὑπερβαίνει τὰ τῆς μεγάλης, οὕτω τὴν ἀκριβεστάτην ἐπιστήμην ἑκατέρων σχούσης τῶν ὄντων, ὡς μὴ μόνον ᾗ ὄντα ἐστὶν εἰδέναι· ἀλλὰ καὶ οἵων ἑκατέρων ἀντιληπτέον ἂν εἴη· ὡς τοῖς μὲν
92^{r} ἑστῶσι καὶ μείζοσι θέσθαι, καὶ πάνθ' ὑπὲρ τούτων καὶ ποιεῖν καὶ πάσχειν αἱρεῖσθαι, τῶν δ' ἀποσχέσθαι τοσοῦτον καὶ χαίρειν ἐᾶσαι, ὡς μὴ μόνον μὴδ' ὁπωσοῦν ἐθέλειν κεχρῆσθαι, ἀλλὰ μηδ' ἔννοιαν τούτων ἐσχηκέναι ποτὲ· τὸ δὲ πάντα τὰ καθ' αὑτὴν δημαγωγεῖν· καὶ διοικεῖν καὶ διαιτᾷν ᾗ προσῆκεν, καὶ λογισμὸν μὲν τοῖς πάθεσιν ἐφιστάναι, τά δ' ὑποπίπτειν παρασκευάζειν, καὶ τὴν μὲν σάρκα κατατρύχειν καὶ δουλαγωγεῖν καὶ πιέζειν, τὴν δὲ ψυχὴν καθαίρειν τε καὶ λεπτύνειν, καὶ ὅλως τὸ πάντ' ἐν ζυγῷ καὶ σταθμῷ τιθέναι· καὶ περὶ πάντα τὰ γινόμενα σώζειν, πῶς οὐκ ἔστι μεγίστῃ δικαιοσύνῃ κεχρῆσθαι. Ἀλλὰ τοσούτων κἀντεῦθεν στεφάνων αὐτῇ προσῆκε καὶ οὕτω μετέσχε καὶ τῶν ἐντεῦθεν παιάνων, ὡς μὴδ' ἀποχρώντως ἔχειν διεξελθεῖν.

146–149 Ὁ – ἀγαπᾷν] allusio ad Joh. 1, 4.20–21 […] ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε πῶς δύναται ἀγαπᾶν; καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ. || **149–150** τὸ – βαίνουσα] allusio ad Matth. 20.28/Marc. 10.45 […] ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

---

146 ἄγειν] post ἄγειν verba καὶ προτιθέναι τοῖς ὅλοις expunxit A^{p3c} **152** λελοιπέναι] post λελοιπέναι verba ὅλως γὰρ supra lineam add. A^{p1c} **153** τεσσάρων] post τεσσάρων verbum τοίνυν expunxit A^{p1c} | γενικωτάτων] post γενικωτάτων verba φρονήσεως τε καὶ ἀνδρίας· καὶ δικαιοσύνης· καὶ τῆς πάντα ἀρίστης σωφροσύνης, οὕτω πάσαις ἐξέλαμψε καὶ μετὰ παντὸς τοῦ συγκεχωρηκότος πασῶν ἐπ' ἔσχατα ἧκεν, ὡς ἕνα μηδένα πάντων τῶν ἐγγὺς ἂν αὐτῆς γεγονότα καταλιπεῖν· μόνη γὰρ πασῶν παντὸς ἀγαθοῦ πρυτανεῖον ἀναφανεῖσα, ὥσπερ τοῦ νικᾷν αὐτῇ διαπάντων κεκληρωμένου, πάντας ὑπερεβάλλετο expunxit A^{p1c} **154** γε] post γε verba φιλοσοφίας μέγιστος ὅρος expunxit et verba γνώσεως ὅρος εστὶ τῆς μεγίστης supra lineam add. A^{p1c} **161** ᾗ] ᾗ ex εἰ scr. A^{pc} **165** κεχρῆσθαι] post κεχρῆσθαι verba φρονήσεως μὲν οὖν εἵνεκα καὶ δικαιοσύνης, οὐχ ὅσα τῇ μεγάλῃ προσῆν, ἀλλ' ὅσα ἐξῆν εἰπὼν, ἐπὶ τὰς ἄλλας καὶ δὴ βαδιοῦμαι· καὶ μὴν οὐ [γὰρ expunxit A^{p1c}] τουτωνὶ μὲν τοσαῦτα περιῆν θεοδώρα, σωφροσύνης δὲ καὶ ἀνδρίας καὶ τῆς ἐν ἅπασι καρτερίας ἐλάττω· expunxit A^{p3c} **166** διεξελθεῖν] post διεξελθεῖν verba Θεοδώρα γὰρ add. in marg. A^{p1c}

Θεοδώρα γὰρ ἡ θαυμαστῇ καρτερίᾳ διὰ βίου παντὸς κεχρημένη· καὶ οὕτω τὴν ψυχὴν παρεσκευακυῖα ὡς μὴ μόνον ἀνωτέραν τυγχάνειν τῶν τε κατὰ τὸν βίον ἀνιαρῶν· τῶν 92v θ’ ὡς ἑτέρως ἐσχόντων, ἀλλὰ καὶ τῶν φυσικῶν θεσμῶν πατάπασιν ὑπερσχεῖν, καὶ τοὺς μὲν τοῦ σώματος πόνους καὶ πᾶσαν τὴν περὶ ταῦτα φιλοσοφίαν, ὡς οὐκ οἶδ’ εἴ τις κατωρθωκυῖα, τὴν δὲ ψυχὴν ἀκλινῆ· καὶ γενναῖαν καθάπαξ ἐν πᾶσι τετηρηκυῖα καὶ μαρτυρεῖ ταῦτα, πρῶτον μὲν τὸ τῆς σιωπῆς ἐκείνης ὑπερφυές, καὶ ἣν ἔσχε περὶ ταυτηνὶ καρτερίαν· ἐπὶ γὰρ πεντεκαίδεκα ἐνιαυτοῖς καὶ πρὸς τὴν παῖδα τῷ σιγᾷν ἐκέχρητο· καὶ ταῦτα ταῖς αὐταῖς ἐκείνη χρωμένη διατριβαῖς· ἔπειτα καὶ ὁ μέγιστος ἐκεῖνος καὶ πᾶσαν ἀντεξέτασιν ὑπερβαίνων πρὸς τὸν χειμῶνα τῶν στοιχείων ἀγών.

Οὕτω διὰ πάντων ὑπέταξε τὴν σάρκα τῷ πνεύματι· καὶ μὴ μόνον ἀργὸν καθάπαξ 93r ἀπέφηνεν, ἀλλὰ καὶ κατὰ τὸ φρόνημα τοῦ πνεύματος ἦγε τοῦ κατὰ φύσιν ἐκστήσασα· καὶ τοῖς μὲν ἄλλοις ἀγαπητόν, τὸ μὴ ταῖς σαρκὸς ἐπιθυμίαις τὴν ψυχὴν ὑπάγεσθαι· Θεοδώρᾳ δὲ οὐκέτι· ἀλλ’ εἰ μὴ καὶ τὴν σάρκα μεταβάλλοι τὴν φύσιν, καὶ ταῖς ἐπιθυμίαις τοῦ κρείττονος ἕπεσθαι παρασκευάσει, οὐκ ἀνεκτὸν οὐδὲ πρὸς αὐτῆς ἡγεῖτο.

Ἐντεῦθεν, καὶ σωφροσύνης οὕτω μετὰ πολλοῦ τοῦ περιόντος εἰς ἄκρον ἤλασε. Τὸ γάρ, τὸν μὲν νοῦν τῶν παθῶν αὐτοκράτορα καταστῆσαι, αἰσθήσεις δὲ καὶ τὴν ἐντεῦθεν ἀνάγκην οὕτω ῥυθμίσαι καὶ καταστεῖλαι, ὡς μήτε τοῖς ὀφθαλμοῖς εἰς ἃ· μὴ προσῆκε κεχρῆσθαι, μήτε ἀκοὴν ἑτέροις, μόνοις δὲ τοῖς λυσιτελεστάτοις ἀνοίγειν, καὶ ὅλως πάσας τὰς αἰσθήσεις κατὰ τὸ δοκοῦν ἄγειν τῷ νῷ, ὃ τῆς μεγίστης σωφροσύνης ὅρον ἅπαντες ἴσμεν, τίνι τῶν ἄλλων καὶ πάντα καὶ μεθ’ ὑπερβολῆς οὕτω κατώρθωται; Οὕτω τοίνυν τελέως ἀποστάσῃ τῶν σαρκικῶν· καὶ τὴν περὶ ταῦτα πᾶσαν προσπάθειαν ἀφ’ ἑαυτῆς καθάπαξ ποιησαμένη, καὶ τοῦτ’ εἰκότως ἐξανάγκης ἀπήντα· μόνων μὲν γενέσθαι τῶν περὶ τὸ θεῖον ἐρώτων· καὶ μόνης ἐξηρτῆσθαι τῆς ἐκεῖθεν

167 ἡ] post ἡ verbum γὰρ expunxit A^{p1c} **170** καὶ] post καὶ verba τὴν μεγίστην ταυτηνὶ expunxit, et verbum πᾶσαν add. A^{p1c} | τὴν] τὴν ex ταυτηνὶ scr. A^{p1c} **171** τετηρηκυῖα] post τετηρηκυῖα verba αὕτη μόνη πασῶν ἀνεφάνη· καὶ ταύτην ἅπαντες ἴσασι· καὶ πάντες ἂν οἶμαι συμφαῖεν, ὡς μόνη τὸ συγκεχωρηκὸς ἐν τούτοις εἰλήφει expunxit A^{p2c} **173** πεντεκαίδεκα] post πεντεκαίδεκα verbum χρόνοις expunxit et verbum ἐνιαυτοῖς scr. Ap1c **175** ὑπερβαίνων] ὑπερβαίνων ex ὑπερβαίνειν scr. A^{p1c} | πρὸς – ἀγὼν] supra erasa verba scr. A^{p1c} | ἀγὼν] post ἀγὼν verba πάντας ἡττωμένους καὶ κάτω χωροῦντας ἔδειξεν περιφανῶς ὥσπερ eras. A^{p1c} **176** Οὕτω] ante οὕτω verba ἐπιεικῶς ἀντικαθισταμένη πρός τε τὴν φύσιν καὶ τὰς τῶν στοιχείων μεταβολάς· ἐνταῦθα γὰρ καὶ τούτων καὶ τῆς κατὰ φύσιν ἀνάγκης μείζων ἀνεφάνη πολλῷ· ὥσπερ οὐκ ἀνεχομένη μὴ καὶ διὰ τούτων τὸ τῆς καρτερίας ἐπιδείκνυσθαι περιόν expunxit A^{p1c}, ante οὕτω litteram M in margine scr. A **189** ἀπήντα] post ἀπήντα verba τὸν μὲν νοῦν παντάπασι τῆς ὕλης ἀνώτερον γεγενῆσθαι· καὶ τῶν ἐκεῖθεν πραγμάτων σχολὴν ἄγειν παρασκευάζειν, θεῷ δὲ μόνῃ τῇ κατ’ αὐτὸν ἐνεργείᾳ συντυγχάνειν αἰεὶ· καὶ καθαρὰν τῷ καθαρῷ συγγίνεσθαι, καὶ πᾶσαν ἐντεῦθεν δυσχέρειαν ἀποκρούεσθαι· καίτοι τί λέγω; οὕτω γὰρ ἡσυχίας ἑάλω, καὶ τῶν εἰς ταύτην φερόντων τοσοῦτον ἐποιήσατο λόγον, ὡς μὴ μόνον αὐτὴν εἰς ἄκρον ταύτην κατωρθωκέναι, ἀλλὰ καὶ ταῖς ἄλλαις ὡσπερεί τις γνώμων τῶν τοιούτων φανῆναι, καὶ κανὼν ἀκριβής. Ἐπεὶ καὶ πᾶσαι ταύτην ὡσπερεὶ πρυτανεῖον ἑώρων τῆς περὶ πάντα ταῦτ’ ἐπιστήμης, καὶ πρὸς φιλοσοφίαν παράκλησιν· καὶ μόνῃ ταύτῃ προσεῖχον, καὶ τὰ καθ’ αὐτὰς ἐντεῦθεν ὡς προσῆκε διώκουν expunxit A^{p1c} **190–193** μόνων – κύκλῳ] in marg. inferiore add. A^{p1c} **190** μόνων] an μόνον scribendum?

ἀκτῖνος, ἐρῶσαν δὲ ἀεὶ τοῖς λογισμοῖς συντυγχάνειν καὶ καθαρὰν τῷ καθαρῷ
συγγίνεσθαι καὶ τῶν ἐκεῖθεν ἀγαθῶν ἀπολαύειν· ἀπολαύουσαν δὲ, διπλασιάζειν
αὖθις τὸ περὶ αὐτὸν φίλτρον, ὥσπερ ἐν κύκλῳ.

93v Οὕτως ὦ θεία κεφαλὴ διὰ πάντων τῶν βελτίστων, καὶ παρὰ Θεῷ καὶ ἀνθρώποις
94r μεγάλων ἀξιουμένων πραγμάτων, μετὰ πολλοῦ τοῦ μείζονος ἧκες, ἐξ ὧν γε πάντων,
μοναδικήν τινα καὶ ξένην οὐσίαν καλοῦ, καὶ συμπάσης ἀρετῆς ἑστίαν, τὸν σαυτῆς
ἀποδείξασα βίον, πᾶσι παράδειγμα προὔθηκας· ἐκ κεφαλῆς εἰς πόδας τὸ περὶ πάντα
γινόμενον σώζοντα· οὐ γὰρ νῦν μὲν, νῦν δ' οὔ· οὐδὲ νῦν μὲν μᾶλλον νῦν δὲ ἧττον
καθάπερ ἄλλοις τισὶν ἐξεγένετο, λόγον ἔσχες τῆς ἀρετῆς καὶ τοῦ κατ' αὐτὴν πολιτεύ-
ειν· οὐδὲ τῶν μὲν τῶν ταύτης εἰδῶν, τῶν δ' οὔ· οὐδὲ τῶν μὲν μᾶλλον τῶν δ' ἧττον·
ἀλλ' ἐξ ἄρα πρώτης ὡς εἰπεῖν τῆς τριχὸς καὶ προοιμίων αὐτῶν, μέχρι καὶ μυχοῦ
γήρως καὶ τῶν ἐπιλόγων τοῦ βίου, πάντων καθάπαξ καὶ μεθ' ὑπερβολῆς τῶν
βελτίστων ἀκριβὴς ἀνεφάνης ἐργάτης.

Οὕτω διὰ πάντων ἀνεφάνη νικῶσα. Οὐ γὰρ εὐθὺς μὲν ἐκ παιδὸς τοσοῦτος ἦν
ἐκείνῃ λόγος τῆς ἐν ψυχῇ κατ' ἀρετὴν ἐργασίας, ἐπεὶ δ' ὡμίλησε γάμῳ καὶ τοῖς
ἐκεῖθεν δυσχερέσι, καὶ μικρὸν ὑφῆκε τοῦ περὶ τὴν σπουδὴν τόνου; Οὐδ' αὖ τὸν μὲν
γάμον οὕτω διέθετο ὡς πάντα καθάπαξ καὶ παῖδας καὶ κτήματα καὶ χρήματα καὶ
94v ἑαυτὴν ἀναθεῖναι Θεῷ· ἐν δὲ τοῖς ἀγῶσιν οὐ συνέβαινεν ἑαυτῇ; Ἀλλ' ἵνα κατὰ μέρος
ὧν ἐμνήσθην, ἀρτίως ἐν βραχεῖ διεξέλθω, τίς μὲν οὕτω τὰ βέλτιστα πᾶσι καὶ δοκοῦσα
καὶ οὖσα, ἔπειτα τοσοῦτον τοῦ ταπεινοφρονεῖν ἐποιήσατο λόγον, ὡς οὐδεὶς τῶν
οὐδὲν τῶν βελτίστων ἑαυτοῖς συνειδότων; Τίς δ' οὕτω Θεὸν ἠγαπήκει, ὡς καὶ τὴν
ψυχὴν αὐτὴν ἐκχεῖν ὑπὲρ τῶν ἐκείνῳ δοκούντων; Τίς δ' οὕτω φρενῶν εὖ ἧκεν, ὡς
μὴ μόνον ἃ προσῆκεν ἑλέσθαι τοῖς ἄλλοις χαίρειν εἰποῦσαν, ἀλλὰ καὶ παρὰ πάντας
εἰδέναι ὅπως δεῖ ταυτὶ μετιέναι;

Τὸ δ' εἰς πάντα μὲν δικαιοσύνῃ κεχρῆσθαι, καὶ διαιτᾷν τοῖς καθ' αὐτὴν πράγμασι
τὰ εἰκότα, ὡς αἰεὶ τοῖς κρείττοσι τίθεσθαι, τό τὲ τῆς ψυχῆς ἐν ἅπασι φρόνημα σώζειν,
καὶ οὕτως ἀκλινὲς καὶ γενναῖον περὶ πάντα δεικνῦναι, ὡς μὴ μόνον τῶν συμπιπτόν-
των ἀνιαρῶν ἀνωτέραν εἶναι τοῖς ὅλοις, ἀλλὰ καὶ τῶν φυσικῶν θεσμῶν παντάπασιν
95r ὑπερσχεῖν, καὶ νῦν μὲν ἀτόπῳ καὶ ὑπερφυεῖ σιωπῇ πρὸς τὴν θυγατέρα κεχρῆσθαι,
νῦν δὲ τοσαύτην ὑπομεμενηκέναι ψύχους ὑπερβολὴν, τίνι τῶν ἄλλων ταῦτα προσῆν;

---

192 διπλασιάζειν] διπλασιάζειν ex αὔξειν scr. A[p1c] **193** αὖθις] verbum supra lineam add. A[p1c] **194** θεία] post θεία verba καὶ ἱερὰ expunxit A[p1c] **195** ἧκες] post ἧκες verba καὶ κατὰ πασῶν ἐν τούτοις τὸ κράτος εἴληφας· οὔτε γάρ ἐστιν οὐκ ἔστιν ἀρετῆς εἶδος μηδὲν οὗ μὴ μετεῖχες διαφερόντως καὶ ὑπὲρ πάντας τοὺς ἀκολουθήσαντας, καὶ μόνη συνείληχας ἃ τοῖς ἄλλοις ἰδίᾳ κόσμος καθέστηκεν· expunxit A[p3c] **203** ἐργάτης] post ἐργάτης verba καὶ μόνη παρὰ πασῶν ἐν πᾶσιν ἔσχες τὸ συγκεχωρηκὸς expunxit A[p3c] **205** τῆς] post τῆς verba κατὰ ψυχὴν διατέλους expunxit et verba supra lineam ἐν ψυχῇ add. A[p1c] **208** τοῖς ἀγῶσιν] post τοῖς ἀγῶσιν verba οὐ συνέβαινεν supra lineam add. A[p1c] | ἑαυτῇ] post ἑαυτῇ verba ἥττων καὶ μικρὸν ἀνεφάνη· ἀλλὰ πάντα τὰ τῆς μεγάλης οὕτω μέγιστα καὶ ὑπερφυῆ, καὶ πᾶσαν δήπου διὰ πάντων ἀντεξέτασιν ὑπερβάντα, ὡς μὴ ὅτι γε σφίσι τὲ αὐτοῖς καὶ τῇ μεγάλῃ προσήκειν, ἀλλ' οὐδὲ τοῖς τῶν ἄλλων εἰς ἴσον ἔρχεσθαι expunxit A[p1c] **208–209** Ἀλλ' – διεξέλθω] verba in marg. add. A[p1c] **210** οὖσα] post οὖσα verba καὶ συνέσει καὶ ἀγχυννοίᾳ κατὰ πασῶν φερομένη τὸ κράτος, expunxit A[p1c] **216** τὲ] τὲ ex δέ corr. A[p1c]

Τίς μὲν οὖν οὕτω τὰς αἰσθήσεις ῥυθμίσασα τῷ νῷ συμβαίνειν παρεσκευάκει, καὶ μὴ πόρρω πίπτειν τοῦ κατ' αὐτὸν βουλομένου; Τίς δ' οὕτως αὐτὸν τοῦτον ἀνώτερον ὕλης τιθεῖσα, Θεῷ μόνῳ προσέχειν παρέσχε καὶ τούτου κατάκρας ἀντιποιεῖσθαι, καὶ ταῖς ἐκεῖθεν ἀκτῖσιν ἐντρυφᾷν ὅσαι ὧραι· καὶ συνελόντα φάναι, τίς πάντα τὰ κάλλιστα ὁμοῦ καὶ μεθ' ὑπερβολῆς ἐν ἑαυτῇ συλλαβοῦσα ἔσχε; Μόνη γὰρ ὡς εἰπεῖν διαγέγονε, πάντας καὶ πάσας τοὺς ἐκ τοῦ παντὸς αἰῶνος ἐπ' ἀρετῇ θαυμασθέντας, τοὺς μὲν μιμήσασθαι, τούς δ' ὑπερβαλλέσθαι φιλονεικοῦσα.

Δῆλον δὲ Ἄνναν μὲν οὖν ἐκείνην τὴν μεγάλην ἀκούομεν, πολλοῖς τοῖς καλλίστοις σεμνυνομένην· ὃ δὲ μέγιστον πάντων καὶ οἱονεὶ κολοφών, τὸ προσενηνοχέναι τὸν Σαμουὴλ· καὶ τῷ νεῷ προσαναθεῖναι τῷ θείῳ. Ἡ δὲ τοσοῦτον ταύτην κατὰ πολλὴν 95v τὴν περιουσίαν νικᾷ, ὅσον οὐ μόνον παῖδα· ἀλλὰ καὶ κτήματα καὶ χρήματα, ἔπειτ' ἐπὶ πᾶσι τούτοις, τὸ μέγιστον καὶ ἑαυτὴν προσάγει Θεῷ. Ποῦ δὲ θήσεις τοὺς τῆς μεγάλης ἀγῶνας καὶ τὰ μεγάλα καὶ ὑπερφυῆ σκάμματα, ὧν ὀλίγων ἐκείνη μετῆν; Τοῖς αὐτοῖς δὲ τούτοις, καὶ τὸν Ἀβραὰμ ἐκεῖνον ὑπερεβάλλετο εἰ μὴ μέγα εἰπεῖν, καὶ πρό γε τούτων καὶ μετὰ τούτων, οἷς οὐ πρὸς ἀνάγκην προσενηνόχει τὴν παῖδα καθάπερ ἐκεῖνος τοῦ Θεοῦ κελεύοντος, ἀλλ' ἀπὸ γνώμης ἐθελουσίου καὶ πρὸς αὐτῆς αὐτὴ κινηθεῖσα· καὶ μὴν οὐ πλαξὶ λιθίναις αὐτίκα συντριβομέναις· ἀλλὰ τῇ ψυχῇ καθαρθείσῃ τὸν νόμον τοῦ Θεοῦ δεξαμένη· καὶ πᾶσι παράδειγμα καλοῦ παντὸς καὶ τύπον προθεῖσα, ὡς μὴ μόνον τὴν δόξα αὐτοῦ διηγεῖσθαι ἀλλὰ καὶ πάντας πρὸς οὐρανὸν μεθιστάναι, καὶ Μωσέα νενίκηκεν· εἰ δ' οὐ θάλασσαν διέσχε καὶ στοιχεῖα κεκαινοτόμηκεν, οὐδὲν πρὸς τὸν λόγον, ὃ γὰρ τούτου πολλῷ μεῖζον, πρὸς ἄγριον τούτων χειμῶνα καὶ τὴν ἐντεῦθεν ἀνάγκην, μετὰ πολλοῦ τοῦ περιόντος ἀπεμαχέσατο· καὶ 96r σιωπῷ τὴν ὑπερφυᾶ σιωπὴν καὶ τὰ μετὰ τελευτὴν τεράστια.

Ἰὼβ τὴν περὶ τὰ δεινὰ καρτερίαν θαυμάσασα, τοσοῦτον ὑπερεβάλλετο, ὅσον ὁ μὲν ἐπὶ σμικρὸν χρόνον· ἡ δέ, διὰ βίου παντὸς ταύτην κατώρθωσε· καὶ προσέτι καὶ ὧν ἐκεῖνος οὐχ ἑκὼν ἐγυμνώθη, τούτων ἀπέστη τοῖς πένησι Θεοδώρα, μηδενὸς ὄντος τοῦ βιαζομένου· Ἡλιοῦ τὴν ἐρημίαν καὶ τὴν ἐντεῦθεν φιλοσοφίαν, μεταξὺ πολλῶν κατωρθώκει ὡς καὶ κατὰ τὸν Δαβὶδ λέγειν ἔχειν, «καταμόνας εἰμὶ ἐγώ»· ἀλλ' οὐκ ἐκήρυξε μὲν ἀμνὸν τοῦ Θεοῦ κατὰ τὸν Ἰωάννην; Τὴν δὲ ἐκείνου φιλοσοφίαν ὡς οὐκ οἶδ' εἴ τις μιμησαμένη, ἐδέξατο τοῦτον καὶ νεὼς ἐγένετο θεῖος. Εἰ δὲ μὴ καὶ κατὰ

229–230 ὃ – θείῳ] Allusio ad 1 Regnorum 1.1–27 || **234–236** τὸν – κελεύοντος] Allusio ad Gen. 22.1–19 || **237–238** οὐ – δεξαμένη] Allusio ad Exod. 31.18 || **248** κατὰ – ἐγὼ] Ps. 140.10 πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοὶ· κατὰ μόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω. || **249** ἐκήρυξε – Ἰωάννην] Joh. 1.29 Τῇ ἐπαύριον βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

226–227 ἐπ' – τούς] in marg. inferiore add. A^{p1c} **227** φιλονεικοῦσα] post φιλονεικοῦσα verba ἀλλὰ ταῦτα μέν, εἰς τοσοῦτον· expunxit A^{p2c} et post τοσοῦτον verba ἡμᾶς δὲ δεῖ καὶ παρ' ἄλλοις ταυτὶ τὰ ἡμέτερα θεωρήσαντας, ἔπειθ' οὕτω κατακλεῖσαι τὸν λόγον, expunxit A^{p1c} et verba δῆλον δὲ in marg. dextra add. A^{p1c} **233** ὀλίγων] an ὀλίγον scribendum? **248** ἔχειν] post ἔχειν una littara erasa est, forse verbum καὶ A **249** Ἰωάννην] post Ἰωάννην verbum ἀλλὰ expunxit A^{p1c} **250** θεῖος] post θεῖος verba ὃ τοῦ κηρύξαι οὐδὲν ἔλαττον ὥς γε ἐγὼ νομίζω· expunxit A^{p3c}

τοὺς ἀποστόλους πᾶσαν τὴν οἰκουμένην διῄει τὰ σωτήρια πᾶσιν ὑποτιθεῖσα, ἀλλ’ οἷς καὶ λόγοις μὲν ἔστιν ὅτε, πολλῷ δὲ πλέον ἐν ἔργοις καὶ τῇ πειθοῖ, ἣ τῆς ἐκ τῶν λόγων πολλῷ τοῖς ὅλοις ἀμείνων, πρὸς τὸ συμφέρον πάντας ἐνῆγε εἰς πᾶσαν τὴν γῆν κατ’ 96^{v} αὐτοὺς τὸν φθόγγον ἐξήνεγκεν. Οὕτω μεγίστη πασῶν τοὺς προύχοντας καὶ τὰ μεγάλα παρὰ Θεῷ δυναμένους, τοὺς μὲν κατάκρας μιμησαμένη, τοὺς δὲ οἷς ἔφην παρενεγκοῦσα. Σὺ δ’ ἔπειτα καὶ πρὸς τὸν Δεσπότην ἐποιήσω τὴν ἅμιλλαν, συσταυρωθεῖσα καὶ συνταφεῖσα· ἵνα καὶ συναναστῇς, καὶ συνδοξασθῇς, καὶ συμβασιλεύσῃς.

Ἡ μὲν, οὖν οὕτω μεγίστη Θεοῦ πρὸς ἀνθρώπους φιλοτιμία φανεῖσα· καὶ τὸν τῆς ἀρετῆς ὅρον σαφῶς ἐπιδειξαμένη, καὶ οἷον εἶναι χρὴ κἀν τοῖς ἔργοις τὸν κατ’ εἰκόνα γεγονότα τὴν θείαν, ἐπόθει τοι καὶ καθαρῶς ἀπαλλάξαι τῶν κάτω· ὧν καὶ πρόσθεν οὐδὲν ἧττον μετῆρε· λαβέσθαι δὲ τῶν ἄνω καὶ αὐτῇ προσηκόντων· καὶ τοίνυν ἐν βαθυτάτῳ καὶ μάλα πίονι γήρᾳ, καταλύει τὸν βίον· καὶ νῦν ἐστὶν ἐν τοῖς οὐρανοῖς τῷ 97^{r} καθαρωτάτῳ καὶ ἀκρεφνεστάτῳ καὶ τρισηλίῳ συνοῦσα φωτὶ· καὶ ταῖς ἐκεῖθεν ἀκτῖσιν ὅλη γενομένη φωτοειδὴς, ἐναργεῖς ἀποδείξεις ἐκφαίνει ταυτησὶ τῆς μακαριότητος, τὸ σῶμα τὸ θεῖον μύρων ἀναδεικνῦσα πηγὴν.

Ἀλλ’ ὦ τῶν ἀσκητικῶν ἱδρώτων ὅρος καὶ τύπος πᾶσιν ἀναφανεῖσα· καὶ διὰ ταῦτα ἀξιόχρεως τῆς Τριάδος ἑστία· καὶ τῶν ταύτης πρὸς ἀνθρώπους χαρίτων μεγίστη καὶ κοινωφελεστάτη φιλοτιμία· ὦ θεὸν μάλιστα τῶν ἄλλων ἠγαπηκυῖα, καὶ διὰ ταῦτα πλήρης γενομένη τω_ όντι τῶν αὐτοῦ χαρισμάτων· ὦ καὶ τῶν φυσικῶν ὑπερσχοῦσα καὶ τῆς ἐντεῦθεν ἀνάγκης τῷ περὶ Χριστὸν πόθῳ πολλῷ βιαιοτέρα φανεῖσα· ὦ πάντα τὰ βέλτιστα καὶ ὁμοῦ καὶ μεθ’ ὑπερβολῆς συλλαβοῦσα· καὶ διὰ ταῦτα μείζων τῶν ἐπαίνων ἀναφανεῖσα· καὶ πάντας τοὺς ὑπὲρ σοῦ λόγους καθάπαξ κάτω τιθεῖσα· σὺ 97^{v} μὲν ἣν ἔπνεις Τριάδα καὶ πρὸς ἣν ἐκ πλείονος ἔβλεπες, ταύτης νῦν ἀμέσως μετέχεις· ἐμοὶ δὲ πολλῶν μὲν καὶ μεγάλων ἀπολελαυκότι παρὰ σοῦ τῶν χαρίτων, ἀντὶ δὲ τούτων ταυτηνὶ τὴν τῶν λόγων ἀποδιδόντι ξυντέλειαν, τὸν μὲν βίον ἐπὶ τοῦ παρόντος διέποις καὶ πρὸς τὸ βέλτιον ἀπευθύνοις, τὰ τῆς ψυχῆς αἰεὶ κινήματα πρὸς τὸ συμφέρον ἐνάγουσα, καὶ τοῖς πᾶσι χεῖρα σώζουσαν ὑπερίσχουσα καὶ ἐν ἅπαντι τῷ

253–254 εἰς – ἐξήνεγκεν] allusio ad Ps. 18.5 εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν

---

252 πειθοῖ] ante πειθοῖ verbum ἐκεῖθεν erasit A^{p3c} **253** πολλῷ] post πολλῷ verba σεμνοτέρα τοῖς [οἷς] ὅλοις expunxit et verba τοῖς ὅλοις ἀμείνων, supra lineam add. A^{p1c} | πρὸς – συμφέρον] supra erasa verba scr. A^{p1c} | ἐνῆγε] post ἐνῆγε verba καὶ τὴν δόξαν τοῦ θεοῦ διηγεῖται expunxit A^{p1c} **254** πασῶν] verba † [..]βι[]νξοͅγρ[...]γρ[...] in marg. inferiore (fol. 96^{r}) ex manu juniore A **260** θείαν] post θείαν verba ἐπεί γε οὐκ ἀπὸ γῆς τὴν γένεσιν ἔσχεν, οὐδ’ ἐντεῦθεν εἷλκε τὸ γένος, ἀλλ’ ἐξ ἄρα θεοῦ καὶ τῶν Ὀλύμπου πραγμάτων, expunxit A^{p3c} **263** συνοῦσα] verba † [..]βι[.]ε[.]νΘΡΗ[...]νξΕαρ[...]ΡΚΘ[.] in marg. inferiore (fol. 96^{v}) ex manu juniore A **265** πηγὴν] post πηγὴν verba Ἀλλ’ ὦ διὰ πάντων βελτίστη πασῶν· καὶ μὴ μόνον πάσας ὑπερβαλλομένη τοῖς ὅλοις, ἀλλὰ καὶ διαφερόντως κοσμήσασα· expunxit A^{p3c} **268** θεὸν] post θεὸν verba ὑπὲρ πάντας expunxit et verba μάλιστα τῶν ἄλλων supra lineam add. A^{p1c} | ταῦτα] post ταῦτα verba μάλιστα πάντων expunxit A^{p3c} **269** τω_ όντι] τω_όντι ex τῷ όντι corr. A^{pc} **273** Τριάδα] verba μαρτύριον τῆς θεῖας θεοδώρας in superiore marg. ex manu juniore add. A^{pc} **274** δὲ[1]] post δὲ verba μάλιστα πάντων τὰ σὰ καὶ πνέοντι καὶ θαυμάζοντι, καὶ expunxit A^{p3c}

χρείας ἱσταμένῳ προϊσταμένη· καὶ ἀγαθὰ τοῖς ἀγαθοῖς ἐπιπέμπουσα, καὶ ταῖς ὑπηργμέναις εὐεργεσίαις, ἑτέρας δή τινας καὶ πλείους καὶ μείζους καὶ καλλίους ἐπάγουσα· ἐπὶ δὲ τοῦ μέλλοντος, τῶν ἀρρήτων καὶ ὑπερφυῶν καὶ λογισμὸν πάντα νικώντων ἀγαθῶν ἀξιώσαις, ἀμήν.

278 καὶ[1]] verbum [.]ρκόστες in margine sinistra A **280** ἐπὶ] ἐπὶ ex ἐπεὶ scr. A^{pc} **281** ἀξιώσαις] post ἀξιώσαις verba καὶ κοινωνὸν παρασκευάσαις τῆς περὶ θεὸν ̣ἐ̣κ̣λ̣υ̣εί[…]ς ̣ἀεὶ ̣δ̣όξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· expunxit A^{p1c}

5. Laudatio s. Demetrii (BHG 543)

Aufbau und Inhalt der Rede

1–25: Proömium: Kabasilas erklärt, warum man auf den heiligen Demetrios Lobreden schreibt bzw. schreiben muss. Demetrios hat so viele Wohltaten erwiesen, dass es nicht einfach ist zu wählen, welche davon am besten zu seinem Lob beitragen. Wenn es so einfach wäre, beim Verfassen von Lobreden erfolgreich zu sein, würde es sich nicht lohnen, diese zu schreiben. Man muss im Enkomion dem Demetrios Dank für seine Wohltaten den Menschen gegenüber erweisen. Es wäre nicht richtig, wenn man für Demetrios keine Lobrede schriebe und an seine Wohltaten nicht erinnerte, über das Böse aber immer etwas zu schreiben hätte.

26–42: Proömium: Vielen Menschen ist es misslungen, Lobreden auf den heiligen Demetrios zu schreiben. Weil andere vor ihm die Niederlage schon erfahren haben, hat Kabasilas Mut, es zu wagen, und keine Angst zu scheitern. Wenn es ihm aber gelingt, dann wird seine Rede besser als alle anderen erscheinen. Man ist zur Lobrede auf Demetrios verpflichtet, und es ist für alle Menschen gerecht, ihn zu verehren und Lobreden über ihn zu schreiben.

43–96: Lob der Heimatstadt des Demetrios, Thessalonike.

97–113: Die Herkunft des Demetrios. Seine Eltern.

114–127: Familie und Heimatstadt des Demetrios.

128–139: Kabasilas bittet um die Hilfe des Heiligen beim Verfassen des Enkomions. Wegen seiner Liebe zu Demetrios nimmt er es auf sich, das Enkomion zu schreiben, auch wenn die Möglichkeit besteht, dass es ihm nicht gelingt.

140–156: Die Jugend des Demetrios.

157–170: Er trifft mit den Tüchtigsten zusammen und er schwelgt in den Heiligen Büchern und Predigten. Dadurch empfängt in seiner Seele das göttliche Licht.

171–201: Die Hilfe und das Erbarmen des Demetrios seinen Mitmenschen gegenüber.

202–221: Nur Gott und die geistliche Welt sind von Bedeutung für Demetrios. Er zieht die Tugend den minderwertigen Dingen vor und strebte nur nach dem Göttlichen.

222–244: Demetrios reinigte seine Seele, machte sie tüchtig und bereit, göttlich zu werden. Danach empfängt er den Retter selbst als Bewohner in seiner Seele. Außerdem fehlen ihm die leiblichen Begierden, und er hat an der Keuschheit gleichen Anteil wie die Engel.

245–273: Er hält das Gebet für sehr bedeutsam und beschäftigte sich in seinem ganzen Leben mit den Worten und Taten Christi. Es gibt außerdem nichts, was ihn von der Liebe zu Christus entfernen kann, und er hat schon in diesem Leben Anteil an den himmlischen Gaben.

274–308: Obwohl Demetrios sehr begabt ist, ist er sehr demütig. Demetrios richtete seine Aufmerksamkeit auf die Demut mehr als auf alle anderen Dinge und ist überzeugt, all die mit Gott verbunde-

nen Dinge als die besten zu betrachten. Er entfernte den Hochmut, den Ärger, die Traurigkeit aus seiner Seele und überwindet jede menschliche Leidenschaft.

309–313: Die Demut des Demetrios.

314–333: Sein Ziel ist es, alle Tugenden zu erreichen. Demetrios bewahrt die Worte Christi bewahrt und wird nicht nur für sich selbst, sondern auch für die anderen Menschen zu einem Wohltäter.

334–356: Die Gaben des Demetrios als Heerführer. Er steht den frommen Christen bei, die verfolgt wurden.

357–372: Demetrios ist bereit alles zu verleugnen, um für die in Gefahr befindliche Frömmigkeit zu kämpfen, und er zeigt seinen Eifer für Christus durch sein Predigen.

373–397: Demetrios verkündigt den Heiden, dass Christus der einzige Gott ist und führt sie in den wahren Glauben.

398–430: Die Christen halten unter allen Schwierigkeiten an ihrem Glauben an Christus fest und würden ihn nicht verleugnen.

431–456: Demetrios wird Retter der Menschen genannt und ein allgemeiner Helfer für das Menschengeschlecht. Daneben übertrifft er alle Menschen, was die Frömmigkeit und die Menschenliebe betrifft.

457–490: Der Kaiser, ein Gegner der Christen, wird zornig und möchte Demetrios zur Verantwortung ziehen, als er erfährt, dass Demetrios gegen die Götter vorgeht und den Christen beisteht.

491–525: Demetrios fängt an, eine Rede voll des Heiligen Geistes vor dem Kaiser zu halten. Der Kaiser versucht ihn durch seine Rede zu überzeugen, nicht weiter an Christus zu glauben, dessen Schüler arme Menschen und niedrig von Sitten waren. Der Kaiser sagt weiter, dass die Christen unter dem Martyrium starben, weil sie gewagt haben, die Götter zu beleidigen. Ein Vergleich der Christen mit den Nichtchristen folgt.

526–690: Das Glaubenbekenntnis des Demetrios vor dem Kaiser.

526–562: Demetrios spricht über die heidnischen Götter.

563–580: Demetrios spricht weiter über die Götter und dann über Christus, seinen einzigen Gott, und seine Kreuzigung.

581–602: Viele Menschen haben an Christus nach seiner Kreuzigung und Auferstehung geglaubt und für ihn das Martyrium gelitten. Christus hat durch seine Wunder gezeigt, dass er Gott ist.

603–630: Christus war kein Verführer und kein Betrüger der Menschen.

631–657: Demetrios spricht weiter über die Schüler Christi, denen es gelungen ist, obwohl sie ungebildet waren, die Lehre Christi in die ganze Welt zu bringen.

658–690: Die Verfolgung der Christen. Durch das Martyrium wächst nur noch die Anzahl der Freunde Christi.

691–722: Am Ende seiner Rede vor dem Kaiser erklärt Demetrios, dass er gern den Tag erwartet, an dem er Folter für Christus erleiden wird, und wie Christus für ihn gelitten hat, so will auch er dasselbe tun. Der Kaiser sperrt ihn wütend ins Gefängnis. Der gefesselte Demetrios genießt die göttliche Erleuchtung und seinen Frieden.

723–759: Demetrios ist nicht nur in der Lage, Märtyrer zu sein, sondern auch fähig, die anderen Menschen zum Martyrium bereit zu machen. Dies zeigt sich im Fall Nestors, als Demetrios Nestor im Kampf gegen Lyaios unterstützt. Demetrios erweist sich als Vorkämpfer Gottes und durch Gott Vorkämpfer der Menschen für das Gute.

760–781: Der Kaiser beschließt den Tod des Demetrios. Es folgt das Martyrium des Demetrios, der sich nach dem Martyrium mit Christus vereinigt.

782–793: Demetrios hat den Himmel geehrt und den Engeln im Himmel Anlass für große Freude gegeben.

794–822: Die Seele des Demetrios geht zu Gott und hat zusammen mit den Engeln Anteil am göttlichen Glanz. Demetrios lässt den Menschen seinen Körper, der voll der göttlichen Gnade ist, Wunder wirkt und wohlriechendes Öl verströmt.

823–858: Demetrios preist Gott auch nach seinem Tod, indem sein Körper wohlriechendes Öl entströmen lässt.

859–883: Die Überlegenheit des Demetrios den anderen Menschen gegenüber. – Rhetorische Fragen.

884–903: Die Überlegenheit des Demetrios den anderen Menschen gegenüber. – Rhetorische Fragen. Vergleich des Demetrios mit den Propheten.

904–936: Vergleich des Demetrios mit den Propheten. Demetrios übertrifft sie. Vergleich mit Hiob.

937–950: Demetrios übertrifft auch Abraham, Isaak, Jakob und Joseph.

951–971: Demetrios wird mit Johannes dem Täufer verglichen und es wird gezeigt, dass er ihn übertrifft.

972–1003: Demetrios wird mit Paulus, Petrus und dem Evangelisten Johannes verglichen und es wird gezeigt, dass er sie übertrifft.

1004–1030: Das Lob kommt langsam zu seinem Ende. Demetrios hat den Kreis aller Heiligen übertroffen und ist sogar in der Lage, mit Christus verglichen zu werden. Dadurch zeigt er, dass er die gesamte Natur der Menschen übertroffen hat.

1031–1064: Epilog: Das Lob geht zu Ende mit vielen Anrufungen und metaphorischen Bildern. Das Verlangen nach dem heiligen Demetrios hat das Enkomion vollendet, aber es war der Größe der Sache nicht angemessen, denn das Leben des Heiligen war weitaus größer. Davon abgesehen war es dem Autor nicht schwer, das Lob auszusprechen, denn man braucht Willen und keine Kraft, um es verwirklichen zu können.

5. Ἐγκώμιον εἰς τὸν ἅγιον μεγαλομάρτυρα Δημήτριον τὸν μυροβλύτην

Πολλῶν ὄντων καὶ μεγάλων· οὔμενουν οὐδὲ συνιδεῖν ῥᾳδίων τῶν εἰς ἐπαίνους Δημητρίῳ φερόντων, καὶ πάντων ὧν αὐτῷ προσῆκεν, ἐν ἐπαίνου καθισταμένων, μᾶλλον δὲ παντὸς ὁτουοῦν τῶν ἐπαίνους δεχομένων, καὶ Δημητρίῳ προσόντος πολλῷ τῷ ὄντι, καὶ τὰς ἁπάντων γλώσσας ἐπὶ τὴν εὐφημίαν παρακαλούντων, οἶμαι μὴδ' ἡμᾶς ἂν εἰκότως ἔξω τοῦ γιγνομένου πεσεῖν νομισθῆναι, παρελθόντας αὖθις ἐπὶ τῷ τὰ τοῦ μεγάλου βοῆσαι. Εἰ μὲν γὰρ ἐξῆν ἅπαξ τι περὶ τοῦ κατ' αὐτὸν εἰπόντας, καὶ τῶν εἰκότων εὐθὺς ἐπιτυχεῖς γενέσθαι, τοὺς λόγους τοῖς πράγμασι μάλα συμβαίνοντας ἀποδόντας, οὐκ ἂν ἴσως ἥρμοττεν, ἔτι περὶ τούτων λόγον ποιεῖσθαι. Ὅταν δ' οὕτω θαυμαστῶς τοῖς ἅπασιν ἔχῃ, καὶ οὕτως ὑπερφυῶν αὐτῷ τῶν ἐγκωμίων προσήκῃ, ὡς μὴ μόνον τοὺς ἅπαξ εἰπόντας, εἴσω τῶν αὐτοῦ χαρίτων πίπτοντας εἶναι, ἀλλὰ καὶ τοὺς διὰ βίου γ' ἄν, εἴπερ ἐνῆν ταυτηνὶ σπουδὴν καὶ μελέτην, τοὺς ὑπὲρ αὐτοῦ λόγους ποιησαμένους, τίς οὐκ οἶδεν, ὡς δίκαιος ἐστὶ, θαυμάζεσθαι μὲν παρὰ πάντων, θαυμάζεσθαι δὲ οὐ κατὰ τοὺς ἄλλους, οὐδ' ὥστε καὶ τοῖς ἐγκωμίοις ὅρους τιθέναι; Μάλιστα μὲν, ἐπεὶ θαυμαστός τις κόσμος ἀνθρώποις κατέστη, καὶ κοινὸν τοῦ γένους θαῦμα, καὶ δεῖ χάριτας αὐτῷ πάντας εἰδέναι ταυτησὶ τῆς φορᾶς, καὶ ὧν δι' αὐτὸν μετέσχον ἐπαίνων. Ἔπειθ' ὅτι καὶ πολλῶν καὶ μεγάλων εὐεργεσιῶν ὑπῆρξεν ἀνθρώποις, καὶ πάντας εὖ πεποιηκὼς, πάντας τῶν ἐπαίνων ὀφειλέτας κέκτηται. Καίτοι· εἰ ⟨περὶ τὸν⟩ κοινὸν τοῦ γένους πολέμιον, οὐκ ἔστιν ὃς οὐκ εἶπε κακῶς, ἦπου κοινὸς εὐεργέτης αὐτὸς ἀνθρώποις φανεὶς, ἕν τι τῶν δεινοτάτων, εἰ μὴδ' εὐγνωμονοῦντας ἕξει πρὸς τὰς εὐεργεσίας, καὶ ὧν εὖ πεπόνθαμεν μεμνημένους, ἀλλὰ περὶ μὲν τοὺς κακῶς ἡμᾶς εἰργασμένους τὰ εἰκότα σώζοιμεν, περὶ δὲ τὸν εὐεργέτην δόξαιμεν κακοὶ· παρὰ πάντα δὲ ταῦτα, εἰ τὸ τοὺς καλοὺς κἀγαθοὺς ἐπαινεῖν, οὐ μᾶλλον ἐκείνους ἐστὶ σεμνύνειν, ἢ σφᾶς αὐτοὺς, τίνα Δημητρίου πρότερον ἐπαινοῦντες, δόξαιμεν ἂν ⟨οὐ⟩ ὑπὲρ ἡμῶν αὐτῶν βεβουλεῦσθαι;

Οὕτω παρὰ πᾶσιν ἀνθρώποις, πολλῶν καὶ μεγάλων ἀξιοῦσθαι πραγμάτων, ἄριστε ἀνθρώπων δίκαιος εἶ. Καὶ μὴν κἀκεῖνο δήπουθεν ἴσμεν, ὡς ἄρα πολλοὶ καὶ μάλα ἀγαθοὶ λέγειν, τουτονὶ τὸν ἆθλον ἀνῃρημένοι, λαμπρὰν ἡττήθησαν ἧτταν, καὶ σαφῶς ἔδειξαν, ἐπαινεῖν μὲν ἐγνωκότες· ἐλάττους δὲ καθάπαξ ὄντες τοῦ κατ' αὐτὸν

B M P V I

5, 1 τὸν[1] – μυροβλύτην] M tit.: τοῦ ἐν ἀληθείᾳ σοφωτάτου καὶ μακαριωτάτου κῦρ Νικολάου τοῦ Καβάσιλα ἐγκώμιον εἰς τὸν ἅγιον, πανένδοξον τοῦ Χριστοῦ μεγαλομάρτυρα καὶ θαυματουργὸν καὶ μυροβλύτην Δημήτριον V: Ἐγκώμιον εἰς τὸν ἔνδοξον τοῦ Χριστοῦ μεγαλομάρτυρα καὶ θαυματουργὸν καὶ μυροβλύτην Δημήτριον P: τοῦ αὐτοῦ ἐγκώμιον εἰς τὸν ἔνδοξον τοῦ Χριστοῦ μεγαλομάρτυρα καὶ μυροβλύτην Δημήτριον B: Titulus non potitur lectum esse I, Ἰησοῦ μου βοήθει μοι in margine superiore scr. V, εὐλόγησον Δέσποτα verbis post titulum adscriptis M, Λόγος ζ' vocibus in marg. adscriptis P **2** οὐδὲ] om. P **3** ἐν] om. Ioannu **10** οὕτω] οὕτως B **17** αὐτὸν] IB: αὐτῶν MP: αὐτὸν ex αὐτῶν scr. V | καὶ[1]] om. P **18** πεποιηκὼς] omnes codd. :πεποιημένος Ioannu | πάντας[2]] ante πάντας verbum καὶ add. PB **19** περὶ τὸν] addidi **20** φανεὶς] MVPB: ἀναφανεὶς I **25** οὐ] addidi **29** ἔδειξαν] ἔδοξαν P

πράγματος. Οὐ μὴν· ἀλλὰ τοσοῦτο δέω διατοῦτο τὸν ἀγῶνα φοβεῖσθαι, καὶ τὴν ἐγχείρησιν δυσχεραίνειν, ὥστε καὶ κατ' αὐτό γε τοῦτο καὶ φημὶ τοὺς λόγους θαρρῆσαι. Ὁποτέρου γὰρ συμπεσόντος, περιέσται ἡμῖν, μὴ φαύλοις εἶναι φανῆναι· τῶν μὲν γὰρ πραγμάτων κατ' εὐχὴν προκεχωρηκότων, δόξαιμεν ἂν καλλίω καὶ μείζω πάντων εἰπόντες· ἔξω δὲ πεσόντες τῶν γινομένων, οὐδέν τι καινὸν παθόντες, πάντων τῶν εἰπόντων, οὐδενὸς οἶμαι τὴν ἧτταν διαφυγόντος. Οὕτω μέγα τὸ κατ' αὐτὸν· καὶ παρὰ τῶν ἀνθρώπων, διπλῆν ὡς εἰπεῖν ἀνήρηται νίκην· καὶ νικᾷ μὲν, τοὺς ἐγγὺς ἂν αὐτοῦ γενέσθαι βουληθέντας, τῷ βίῳ· νικᾷ δὲ τοὺς θαυμαστὰς, ἐφικέσθαι μὲν ἐπειγομένους τῷ λόγῳ, τοῦ μεγέθους τῶν πεπραγμένων· λειπομένους δὲ οὐδὲν ἧττον. Ἃ μὲν οὖν εἰκὸς ἦν εἰπεῖν, δεῖξαι βουλομένοις, ὑπόχρεως οὖσιν ἔτι Δημητρίῳ τῆς εὐφημίας, οὐ μόνον δὲ, ἀλλὰ καὶ πάντας ἀνθρώπους δικαίους ὄντας, δι' ὧν ἔξεστιν ἐκεῖνον σεμνύνειν, μὴ μόνον πρὸς ἕνα δήπουθεν ἆθλον ὑπὲρ αὐτοῦ, ἀλλὰ καὶ πρὸς πολλοὺς καθιέντας, ἱκανῶς εἰρῆσθαι νομίζω.

Τοῖς δὲ λόγοις ἤδη προσάγων, καὶ ἐπαίνων ἅπτεσθαι μέλλων, ὡς ἂν μὴ τῆς ἐμαυτοῦ μεμνημένος, καὶ πολὺν ὑπὲρ ταύτης ποιούμενος λόγον, δόξῳ τισιν ἐμαυτῷ τὰ πρὸς ἡδονὴν ἐθέλων, ἀντὶ τοῦ τὰ βέλτιστα λέγειν, ἐκεῖνο ἂν εἴποιμι. Πρῶτον μὲν, ὅτι μὴδ' ἔνεστιν ἄλλως, Δημήτριον ἐπαινοῦντας κατὰ τὸν περὶ ταῦτα νόμον τὸν ἀγῶνα διενέγκαι, μὴ Θεσσαλονίκης μνησθέντας, ἅ γε προσῆκεν. Ἔπειτα, εἰ μὲν μήτε πολλῶν ὄντων, ἃ τὴν Φιλίππου κοσμεῖ, μήθ' ἑνὸς οὐδενὸς ὄντος, ὃς σύνοιδεν αὐτῇ τὰ βελτίῳ, ἔπειτα πολλῶν αὐτὸς ἐμεμνήμην καὶ μειζόνων, ἢ τῇ πόλει προσεῖναι, ἠδίκουν ἄν. Τοσούτων δὲ ὄντων τῶν ἐξαρκούντων εἰς θαῦμα τῇ πόλει, πῶς οὐ φανερὸς ἂν γενοίμην, οὐχ ὑπὲρ οἰκείας μᾶλλον, ἢ τοῦ πάντων καλλίστου καὶ βελτίστου ποιησάμενος λόγον; Οὐ γὰρ τὸ μὲν· αὐτῇ πρὸς ἐπαίνου γίνεται, τό δ' οὐ κοσμεῖ· ἀλλ' ὥσπερ ἵνα πολλῶν κρατήσῃ συστᾶσα τοεξαρχῆς, οὕτω πᾶσι μὲν σεμνύνεται τοῖς προσοῦσι· πρόσεστι δὲ οὐδὲν, ὃ μὴ μετὰ τῶν εὐδαιμόνων τίθησι, νικᾷ δὲ πόλεις πολλῶν ἀμείνους· τοσοῦτόν ἐστιν· ἃ μὲν οὖν εἰς ἀέρων τὲ ἀρετὴν φέρει· καὶ ὡρῶν ἁρμονίαν καὶ τάξιν, καὶ θέσιν καὶ κάλλος καὶ μέγεθος, καὶ ὡς θαυμαστὴ μὲν καὶ τούτων, θαυμαστὴ δὲ τῶν ἄλλων ἐξ ὧν ταῖς πόλεσι κόσμος, θαυμαστὴ δὲ τῆς θαλάσσης, καὶ τῶν ἀπὸ τῆς θαλάσσης χαρίτων, οὔμενουν, οὐδ' ὅσον εἰπεῖν ἐξεῖναι, ταῦτα μὲν οὖν ἐάσειν. Ὅ δ' ὑπὲρ τῆς πόλεως εἰπεῖν, εἰκὸς εἶναι μάλιστα τῶν ἄλλων νομίζω, καὶ πάντες αὐτῇ σύνισμεν, καὶ ᾧπερ, οὐκ ἔστιν ἥτις οὐ τοῦ συγκεχωρηκότος τῇ Φιλίππου παραχωρεῖ.

Πολλῶν γὰρ ὄντων ἃ κεκόσμηκε τὴν πόλιν, μέγιστον εἰς ἐπαίνους, καὶ αὐτῇ μάλα πρὸς τρόπου, τὸ καὶ λόγων δυνάμει δυνηθῆναι διενέγκαι τοσοῦτον, ὡς ἐντεῦθεν μᾶλλον, ἢ τῶν ἄλλων ἔχειν τὸ θαῦμα. Οὕτω γὰρ Ἑλληνίδων διαφερόντως λόγων μετέχει, καὶ τοσοῦτον αὐτῇ περίέστι καὶ τουτωνὶ τῶν χαρίτων, ὥστ' αὐτὴν μὲν ἑαυτῇ πρὸς ταυτηνὶ τὴν εὐδαιμονίαν ἀρκεῖν· αἰτίαν δὲ καὶ ταῖς ἄλλαις τουτωνὶ δυνηθῆναι γενέσθαι· καθάπερ ἀποικίαν τινὰ ποιησαμένην τοὺς λόγους, κατὰ τοὺς Ἀθήνησι τῆς

---

30 τοσοῦτο] τοσούτῳ BP | διατοῦτο] διατοῦτο post τὸν ἀγῶνα transp. PB **34** γινομένων] γιγνομένων BP **43** προσάγων] προάγων Ioannu | μὴ] omnes codd.: an μὴν scribendum? **44** πολὺν] πολλὴν B **46** μὴδ'] οὐδ' P **51** φανερὸς] MIPB: φανερῶς V **55** τὲ] om. BP **56** καί[6]] om. P **63** μάλα] μάλιστα P

πόλεως ἀρχηγούς. Οὔκουν οὐκ ἔστιν οὐδεὶς οἶμαι τῶν νῦν ἁπανταχοῦ τῆς ἡμετέρας Ἑλλήνων, ὃς οὐχ ὥσπερ εἰς πρόγονον τὴν πόλιν ἀνάγει, καὶ τῆς ἐν αὐτῷ μούσης μητέρα τίθεται, καί γε σεμνὸς ἡγεῖται δόξειν, τὸ γένος εἰπών.

Ῥήτορας δὲ ἀγαθοὺς, ἢ τοὺς Πλάτωνος καὶ Ἀριστοτέλους ἑταίρους, τίς οὕτω πασῶν ἑκάστοτε τίκτει, ὥσπερ ἀναγκαίαν τινὰ φορὰν τῷ βίῳ ταυτηνὶ συντελοῦσα· παντοδαπῶν μὲν λόγων τεχνίτας, βιβλία δὲ τίκτοντας, μουσῶν μὲν καὶ χαρίτων ὡς εἰπεῖν πρυτανεῖα, παισὶ δὲ Ἑλλήνων ῥᾳστώνην· οἷς οὐκ ἔστιν ὃς συγγεγονὼς, οὐκ ἀμείνων ἐφάνη, καὶ τὴν γλῶτταν ἀγαθὸς ἐγένετο κατ’ Εὐριπίδην, καὶ εἰ ἄμουσος ἦν τοπρὶν· καὶ τὴν Ἑλλήνων εὐθὺς ἀφῆκε, τῶν βιβλίων κινούντων, ὥσπερ ἅ φασι τῶν ὑδάτων, μένος μαντικῆς τοῖς γευομένοις ἐμπνεῖν; Ὀρφέως γε μὴν μουσικὴν καὶ τὴν κατ’ αὐτὴν ἁρμονίαν, καὶ τὸ ἐπαγωγὸν· καὶ τὸ θέλγειν· καὶ πάντα ταῦτα, οὐδέσιν ἄλλοις εἰκάσαις ἂν ἐντυχών.

Τοιοῦτον ἡμῖν τῇ πόλει τὸ ἦθος· καὶ οὕτως ἀκριβῶς καὶ μετὰ παντὸς τοῦ γιγνομένου τοὺς Ἑλλήνων ἔσωσε νόμους, οὐ προσρήματος μόνου σφίσι κοινωνήσασα. Τὴν γὰρ θείαν φιλοσοφίαν, καὶ τοὺς ἐνταῦθα περὶ αὐτὴν ἔχοντας, καταλίπω· τοσούτους μὲν ὄντας, ὅσοι μὴδ’ ἐν ἁπάσῃ σχεδὸν τῇ Ἑλλάδι· οὕτω δ’ ἀγαθοὺς ἀρετῆς τεχνίτας, ὡς μὴ μόνον αὐτοὺς δήπου τῆς σφῶν τέχνης ἀπολαύειν, ἀλλὰ καὶ πολλοῖς ἄλλοις τὰ τοιαῦτα συμμαχεῖν ἔχειν, καὶ Θεῷ συνιστάναι δύνασθαι· ὧν ὁ Ἄθως, οὐρανομήκης ἔστηκε στήλη, μονονοὺ βοῶν πρὸς ἅπαντας, τὸν προσόντα τρόπον τῇ πόλει· καὶ ὃν ἀμέλει διορύξας ὁ Πέρσης, εἴδωλον τῆς αὐτοῦ μανίας ὡσπερεὶ κατέλιπε, τοῦτον ἡ πόλις, ἀπόδειξιν τῶν τρόπων ποιεῖται, μητρόπολις καταστᾶσα τῆς ἐνταῦθα φιλοσοφίας. Καὶ μὴν· ἰσότητα πολιτείας· καὶ δικαιοσύνην, καὶ τὸ περὶ Θεὸν οὕτως εὐσεβοῦντας διατελεῖν, ὡς καὶ τῶν ψυχῶν αὐτῶν προτιθέναι τὸ κατ’ αὐτὸν· τό, τε περὶ πάντα τὰ βέλτιστα προθυμοτάτους εἶναι, καὶ περὶ τοὺς νόμους καὶ τὰ δίκαια τὸ γιγνόμενον σώζειν, ἄμεινον, ἢ οἷς νόμους καὶ πολιτείαν ἔθηκε Πλάτων, ταῦτα δὲ, τίνος οὐκ ἂν ἡ πόλις ἀμείνων; Οὕτω διὰ πάντων εἰς εὐδαίμονας φέρει· καὶ τῆς ἀγαθῆς τύχης τοσοῦτον αὐτῇ προσῆκεν, ὡς μήτε τῷ πεφυκότι τῆς χώρας, μήτε τῇ τῶν ἀνδρῶν ἀρετῇ, μηδ’ ἡστινοσοῦν ὑστερῆσαι· ἀλλὰ κατ’ ἀλλήλων μὲν ἀμφοτέρων ἐνεῖναι ταύτῃ μετέχειν· διὰ δ’ ἑκατέρων νικᾶν.

5, 75 ἀμείνων – καὶ[2]] allusio ad Eur. *Fragm.* (Nauck 7.1–2) κρεῖσσον δὲ πλούτου καὶ βαθυσπόρου χθονὸς / ἀνδρῶν δικαίων κἀγαθῶν ὁμιλίαι. || **85–86** Ἄθως – μονονοὺ] allusio ad Plut. *De cohib. ira* (Paton, Pohlenz, Sieveking 7–10) Ὁ δὲ Ξέρξης καὶ τῇ θαλάττῃ στίγματα καὶ πληγὰς ἐνέβαλλε καὶ πρὸς τὸ ὄρος ἐξέπεμπεν ἐπιστολάς ‘Ἄθω δαιμόνιε οὐρανόμηκες, μὴ ποιεῖν ἐν ἐμοῖς ἔργοις λίθους μεγάλους καὶ δυσκατεργάστους· […]; cf. etiam e. g. Ael. Arist. *Περὶ τοῦ παραφθέγματος* (Dindorf 385.12–13) ἐμοὶ δὲ στήλη οὐρανομήκης ἔστηκεν ἐν τῇ Πελοποννήσῳ μαρτυροῦσα τὴν ἀρετήν. **87** ἀμέλει – τοῦτον] allusio ad Herod. *Histor.* (Rosén 7.33–35)

---

69 τὴν – ἀνάγει] ἀνάγει τὴν πόλιν, supra ἀνάγει litteram β, supra πόλιν litteram α superscripsit P | αὐτῷ] αὐτῷ IP **81** προσρήματος] πρὸς ῥήματος Ioannu | μόνου] μόνον Ioannu **87** ὡσπερεὶ] MVI: οἱονεὶ BP | κατέλιπε] MVPB: καταλέλοιπε I **88** τρόπων] τρόπον Ioannu **89** δικαιοσύνην] δικαιοσύνης BP

Τῶν δ’ ἐνταῦθα γενομένων, οἵ γε δι’ ὧν βέλτιστοι πᾶσιν ἦσαν, τὴν αὐτῶν κοσμήσαντες, οἱ τοῦ γένους Δημητρίῳ πατέρες· ἄριστοι μὲν τὰ πολιτικὰ τῶν κατ’ αὐτοὺς ἁπάντων ἀναφανέντες· θαυμαστοὶ δὲ, τῆς τε ῥώμης καὶ τῆς δικαιοσύνης· γένει μὲν καὶ πλούτῳ· καὶ δόξῃ καὶ τύχῃ, Μακεδόνων κράτιστοι· οἷς δὲ καὶ τρόπων χρηστῶν ἐπιπλεῖστον ἦλθον, καὶ πάντων ὄντες Ἑλλήνων. Πατὴρ, γενναῖος πάντα, καὶ καλὸς κἀγαθὸς· τῷ τε φρονήσεως εὖ ἔχειν, τῇ τε περὶ μάχας τέχνῃ, καὶ τῷ καλῶς ἄρχειν εἰδέναι, καὶ πολιτεύεσθαι πρός τε τὰ δίκαια καὶ τοὺς νόμους, πολλῶν μὲν ἀγαθῶν αἴτιος τῇ πατρίδι· πολλῶν δὲ τῷ γένει παντὶ καὶ τοῖς ἄλλοις Ἕλλησι καταστάς. Μητρὸς δὲ πέρι πολλὰ καὶ μεγάλα λέγειν ἔχουσι, τοσοῦτον εἰπεῖν ἐστι τωνῦν εἶναι, ὡς ἄρα πάσης ⟨γυναικὸς⟩ μᾶλλον εὖ πράττειν ἔχουσα καὶ τρυφᾶν, ἡ δὲ, μηδενὸς ἠξίου τοῦ λόγου, φλήναφον ἀτεχνῶς νομίζουσα πάντα, καὶ τῶν φρένας ὀλίγων, ἃ μὴ τὸν οὐρανὸν τοῖς ἀνθρώποις προμνᾶται, μὴδὲ τῶν ἐνταῦθα πραγμάτων κοινωνοὺς ἐργάζεται· τὸ δὲ τῆς εἰς Χριστὸν εὐσεβείας ἀντεχομένην, τὴν ψυχὴν ἔπειτα πειρᾶσθαι δεικνύναι μεστὴν ἀρετῶν, καὶ μηδὲν προτιμότερον ἄγειν, μήτε τῆς κατὰ ψυχὴν εὐεξίας, μήτε τῆς περὶ Χριστὸν προθυμίας, ἀλλὰ πάντα μᾶλλον πάσχειν αἱρεῖσθαι, ἢ τὴν περὶ ταῦτα ῥᾳστώνην, ταῦτα δὲ· πρὸς αὐτῆς καὶ πολλοῦ τιμᾶσθαι μάλιστα εἶναι.

Τοιοῦτον Δημητρίῳ τὸ γένος· καὶ πάντων τῶν ἐπαίνους δεχομένων, ἐπὶ τοσοῦτον ἀφῖκτο. Θαυμαστὸν μὲν οἴκοθεν, καὶ τίνων οὐκ ἂν εὐτυχοῦν τῶν βελτίστων; Θαυμαστότερον δὲ, τῷ ἐκείνῳ προσήκειν τοσοῦτον, ὡς καὶ τῶν ἄλλως σεμνυνόντων ἀπόντων, οὐδὲν ἧττον ἐκεῖθεν εὔδαιμον εἶναι. Καίτοι τί λέγω; Εἰ γὰρ δεῖ τοῖς ὑπὲρ τοῦ γένους λόγοις, καὶ Δημητρίου μεμνῆσθαι, καὶ τὴν μαρτυρικὴν προσθεῖναι λαμπρότητα, πάντας εὐθὺς ἀνθρώπους, καὶ πόλεις ἁπάσας πλὴν κομιδῇ γε ὀλίγων, ἥττους εὐθὺς ἂν ἡγοῦμαι φανῆναι, καὶ δευτερείων τυχεῖν· ὡς τὰ μὲν ἄλλα, πολλῶν μὲν ἐκράτησεν· ἔστι δ’ ἃς καὶ ἁμιλλωμένας ἔλαβεν ἡ πόλις ἡμῖν· ⟨οὐκ⟩ ἡττήθη δέπου μιᾶς ὡς ἐγ’ ᾦμαι. Δημήτριον δὲ· καὶ τὴν ἐκείνου φορὰν, οὐδ’ ἡντινοῦν ὧν ἴσμεν ἔχομεν λέγειν, ἣ μὴ μεθ’ ἡδονῆς ἡμῖν ἐνταῦθα τῶν πρεσβείων παραχωρεῖ· ἀγαπῶσα τῷ καὶ δευτέρα Θεσσαλονίκης τὰ τοιαῦτα τετάχθαι. Οἷς γὰρ ἐκεῖνος κοσμεῖται, καὶ τὸ γένος εἰκότως κοσμεῖ· καὶ κοινὴν ποιεῖται τὴν νίκην, εἴ γε τὸ μὲν, αἴτιον αὐτῷ τοῦ δυνηθῆναι πρὸς τοιαύτην ἐληλυθέναι δόξαν, τοὺς δὲ τῶν φύντων ἐπαίνους, τοῖς σπείρασι λογίζεσθαι χρὴ. Εἶεν δὴ.

Τῶν δὲ ἐντεῦθεν, Δημήτριον δεῖ καλεῖν ἡγεμόνα· καὶ παρείης γε ὦ φίλτατε τῆς ὑπὲρ σοῦ σπουδῆς κοινωνήσων· ὡς ἂν ἀπὸ τῆς σῆς χειρὸς καὶ ῥοπῆς λαβόντας τοὐνδόσιμον, «οἴκοθεν οἴκαδε» φασὶ, τοὺς λόγους κομίσαιο. Σὲ γὰρ ἐπαινεῖν, δυσχερὲς μὲν, ὅτου τίς ἂν εἴποι μᾶλλον, καὶ χαλεπώτερον διενέγκαι; Κεφάλαιον δὲ παντὸς

130 οἴκοθεν – φασὶ] cf. e. g. Ael. Arist. *Εἰς τὸν Σάραπην* (Dindorf 54.5) καὶ παρὰ τοῦτον δεῖ βαδίζειν παρ’ αὐτοῦ, τοῦτο δὴ τὸ λεγόμενον οἴκοθεν οἴκαδε, ὡς αὐτὸν.

97 αὐτῶν] αὑτῶν Ioannu **104** Ἕλλησι] om. Ioannu **106** γυναικὸς] addidi **107** ἃ] omnes codd.: εἰ Ioannu **109** ἐργάζεται] ἐργάζηται I **111** ἀλλὰ] om. Ioannu **112** αὐτῆς] αὑτῆς Ioannu **113** μάλιστα] om. P **121** μὲν] om. BP | οὐκ] addidi **130** κομίσαιο] κομίσατο Ioannu **131** μὲν] om. BP

ἡδίστου, καὶ πέρας εὐδαιμονίας ἐμοί· ὥστε καὶ τῶν ἄλλων σχεδὸν ἁπάντων, τουτονὶ τὸν ἆθλον, πάνυ τοι δεδιότων, καὶ τῶν μὲν, καθάπαξ σιγώντων· τῶν δὲ, λεγόντων μὲν· περὶ δὲ τοῦ λόγου, καθάπερ ἄλλού του τολμήματος παραιτουμένων, ἐμοὶ μόνῳ τῶν εἰπόντων, οὐ ταῦτα ἔδοξε. Καὶ κινδυνεύω τῇ περὶ τὰ σὰ μανίᾳ, τὴν ἐναντίαν τοῖς ἄλλοις περὶ τούτου ψῆφον ἐκφέρειν· καὶ τὸ μὲν μὴ πολλάκις εἰπεῖν, ζημίαν ἡγεῖσθαι· τὴν δ’ ἀκολουθοῦσαν ἧτταν, οὕτως οὐδέν τι δεινὸν εἶναι νομίζειν, ὥσθ’ ἅπαξ ἐν τοῖς ἀγῶσι τοῖς σοῖς μετὰ τῶν ἡττωμένων φανεὶς, οὐ μόνον οὐκ ἐμαυτῷ νεμεσῆσαι τῆς τόλμης, ἀλλὰ καὶ αὖθις προσάγειν οἴεσθαι δεῖν. Οὕτως ἡμᾶς ἔτρωσας.

Τοῖς μὲν οὖν ἄλλοις, πολλοῦ τινος ἐδέησε χρόνου, πρὸς τὸ καλοῖς κἀγαθοῖς γενέσθαι· καὶ μετὰ τοῦ γήρως, καὶ τῆς ἀρετῆς γεγευμένοι, μεταξὺ τῶν ἀγώνων ἀπεῖπον· οὓς ὁ μακρὸς οὐκ εἴασε χρόνος, τοὺς ἐπὶ τοῖς ἄθλοις στεφάνους, μόνους καθαρῶς κομίζεσθαι. Δημήτριος δὲ· τὸ κοινὸν τῆς φύσεως θαῦμα, ὥσπερ πρινὴ γεγονέναι, τοῦ καλοῦ καὶ δικαίου πολὺν ποιησάμενος λόγον, καὶ ταύτην μόνην ἐσχηκὼς μελέτην ἄριστος εἶναι, οὕτως ἅμα τὲ τὸν ἥλιον ὡς εἰπεῖν εἶδε, καὶ εἰς ἀγαθοὺς ἔφερε· καὶ τὴν ἀρετὴν ἐπήνεσε. Καὶ τὸ μὲν σῶμα, μετὰ τῶν παίδων αὐτῷ· τῷ δὲ τῆς ψυχῆς φρονήματι, γερόντων ἄμεινον εἶχε· διδοὺς τοῖς ὁρῶσιν ἐντεῦθεν, καὶ τὸν ἔπειτα μαντεύεσθαι χρόνον, ὅπως ἄρα διὰ πάντων ἐκλάμψει. Οὕτως ἐκ πρώτης ὡς εἰπεῖν τῆς τριχὸς καὶ προοιμίων αὐτῶν, μεγάλων τῶν εὐφημιῶν ἐκείνῳ προσῆκε· πάσης μὲν οὖν ἀπεῖχε τρυφῆς· ἐμίσει δὲ παιδιάς· τῆς δὲ ἐκεῖθεν ῥαστώνης μουσεῖα καὶ λόγους καὶ τοὺς ἐνταῦθα πόνους, περὶ πλείονος ἦγε. Πρὸς ἓν δὲ μόνον ἑώρα, τὴν τῆς ψυχῆς εὐεξίαν· καὶ τὸ περὶ τοῦ Χριστοῦ τὴν πρέπουσαν ἔχοντα δόξαν, αὐτὸν μὲν τῆς περὶ αὐτὸν σπουδῆς, μηδέποτε σχολὴν ἄγειν, καὶ ταῦτα πολλῶν ὄντων τῶν ἐπὶ τἀναντία κινούντων· τοὺς δ’ ἄλλους τῶν νέων, οἷς συνῆν, ἐπὶ τὰ ἴσα παρακαλεῖν, καὶ τὸ περὶ τὸ θεῖον, ὥσπερ εἰκὸς ἦν εὐσεβεῖν, ὥσπερ ἐντεῦθεν δεικνύντα, τὴν εἰσέπειτ’ ἐσομένην παρ’ αὐτοῦ τῷ γένει βοήθειαν.

Τοῖς μὲν οὖν ἀρίστοις συγγεγονὼς τῶν Ἑλλήνων, ἀγαθός τε εἰπεῖν ἦν, καὶ σοφίας μετέσχε τῆς ἐν μαθήμασι καὶ λόγοις· ᾗ καθάπερ ὀργάνῳ πρὸς τὴν τῆς θείας σοφίας χρησάμενος ἐπιστήμην, ἀκριβέστερον ἢ κατὰ τοὺς πολλοὺς ταῖς θείαις ἐνέτυχε βίβλοις, ἵν’ ἑτοίμως ἔχῃ κατὰ τὸν θεῖον ἀπόστολον παντὶ τῷ ζητοῦντι λόγον διδόναι περὶ τῆς ἐν ἡμῖν ἐλπίδος· τὴν δὲ θείαν ἀκτῖνα τῇ ψυχῇ δεξάμενος, τῷ πάντων μὲν τῶν κακῶν ἐλευθέρους τοὺς ἀνθρώπους ποιοῦντι, Θεῷ δὲ συνιστάντι θείῳ λουτρῷ, καὶ τὴν θαυμαστὴν τῶν ἀνθρώπων εὐδαιμονίαν ἀπολαβὼν, ἀγωγόν τε πρὸς Θεὸν αὐτὴν εἶχε, καὶ συναγωνιστὴν τῶν ἀρίστων, καὶ τῶν γινομένων χριστιανοῖς ἔργων, ἀγαθὸν διδάσκαλον. Τὴν γὰρ διάνοιαν ἀξίαν φυλάττων τῆς Χριστοῦ λαμπρότητος, καὶ πάντα μὲν ἃ πρὸς ἐκεῖνον ἄγει· τῶν ἐν ἀνθρώποις ἀγαθῶν, εἰς σπουδὴν,

160–161 ἵν’ – ἐλπίδος] 1 Petr. 3.15 ἕτοιμοι δὲ ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος μετὰ πρᾳΰτητος καὶ φόβου

142 ἀπεῖπον] omnes codd.: ἀπεῖναι Ioannu **144** μόνην] μόνον BP **152** ἔχοντα] an ἔχειν scribendum? **156** παρ’ αὐτοῦ] om. I **158** τῆς[1]] τοῖς PB **162** τῶν – ἐλευθέρους] ἐλευθέρους τῶν κακῶν supra ἐλευθέρους litteram β, supra τῶν κακῶν litteram α superscripsit B

ἀξιώτερα πολλῷ νομίζων, ἀγαθὸν δὲ μηδὲν οἰόμενος εἶναι, ὃ μὴ μετ' ἐκείνου γίνεται· τοῦ δὲ καθαροῦ ⟨Θεοῦ⟩ πολὺν ποιούμενος ἑκάστοτε λόγον, τοῦ μηδενὸς τῶν φαύλων ἥττων φανῆναι, καὶ τὴν παρὰ τῆς θείας χάριτος ἐκτήσατο συμμαχίαν· καὶ μετ' ἐκείνης, σὺν ἐπαίνῳ πᾶσιν ἐπέβαλλε, καὶ διὰ πάντων ἄριστος ἦν.

Καὶ τοίνυν ἐπεὶ τῶν γονέων γενομένων ἐξ ἀνθρώπων, τῶν ἐκείνοις προσόντων ἐκεῖνος κύριος ἦν, καὶ πρὸς αὐτὸν μετεληλύθει καὶ πλοῦτος καὶ δόξα, καὶ τὸ παρὰ βασιλεῦσι δύνασθαι, τῶν ἄλλων σχεδὸν ἁπάντων πολλὴν ἐκεῖθεν δεχομένων τὴν βλάβην, μόνος ὡς εἰπεῖν διαγέγονε· διὰ τούτων φανεὶς ἀμείνων, καὶ τὴν ψυχὴν βέλτιον πρᾶξαι παρασκευάσας, δι' ὧν πολλοὶ δυστυχοῦσι. Τοῖς γὰρ δεομένοις ἑκάστοτε τῶν ὄντων παραχωρῶν, καὶ μεταβάλλων οἷς εἶχε σφίσι τὴν τύχην, καὶ τῶν δυσχερῶν παραιρούμενος, ὅλην τὴν ἡμέραν κατὰ τὸν Δαυῒδ ἐλεῶν, ὥστ' οὐκ εἶναι μηδένα, μὴ τῶν πολιτῶν αὐτῷ μὴ τῶν ἄλλων Ἑλλήνων, ὃς προσελθὼν καὶ δεηθεὶς, οὐκ εὖ πεπονθὼς ἀπῆλθε, καὶ τὸν εὐεργέτην ὕμνησεν, ἑαυτὸν πολλῷ λαμπρότερον καὶ καλλίω τοκαθ' ἑκάστην ἔχον ἐδείκνυ, τῷ πρὸς τοὺς ὁμοφύλους διακειμένῳ, τὸν θεῖον ἔλεον ἕλκων. Καὶ μὴν· οἷς μὲν ἦν αὐτῷ δυναμένῳ τοῖς δεομένοις χεῖρα ὀρέγων, ἔχαιρε καὶ συνέχαιρεν ἑαυτῷ, οὐ μᾶλλον εὖ ποιεῖν, ἢ πάσχειν νομίζων. Οἷς δὲ μὴ πάντας ἀπαλλάττειν τῶν κακῶν ἔχων, – πάντας ἐθέλων, ἀλλ' ἦσαν οἳ τῆς τύχης οὐκ ἀγαθῆς ἐπειρῶντο, – δῆλος ἦν αὐτὸς ἀνιώμενος οὐχ ἧττον, ἢ εἰ μετ' ἐκείνων συμφοραῖς ἐκέχρητο, δῆλος ἐγίνετο πάντας ἂν εὖ ποιήσας, εἰ μετὰ τοῦ βούλεσθαι, καὶ τὸ δύνασθαι παρῆν· ὥστε εἰ δεῖ τὴν προαίρεσιν σκοποῦντας, ἐκεῖθεν τὰς ψήφους ἐκφέρειν, πάντων ἐκεῖνος εὐεργέτης ἀνθρώπων. Οὕτως ἐλέου τὶς ἦν ἑστία, καὶ πρυτανεῖον φιλανθρωπίας, καὶ τῶν κακῶς πραττόντων, κοινὴ βοήθεια· ὥστε οὐχ ὅσον κατὰ τὸν Ἰὼβ ἐκεῖνον στόμα χήρας εὐλογοῦν ἔχειν, καὶ σύν γε τῷ θαυμαστῷ Παύλῳ δύνασθαι λέγειν «τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ;», ἀλλὰ καὶ τὸ μεῖζον ὅτου τις ἂν εἴποι πρὸς δόξαν, Θεῷ τῷ πάντων ὅμοιον εἶναι κατὰ τὸν θεῖον χρησμὸν· καλῶς γε ποιῶν. Ἐπεὶ τὸν μὲν βουλόμενον ἑταῖρον Θεοῦ, καὶ τῶν ἐκείνου πραγμάτων ἐπιτυχῆ γεγονέναι, δεῖ πρὸς ἐκεῖνον ὁρῶντα, τὴν ψυχὴν οἷς ἔνεστιν, ὁμοίαν ἐκείνῳ τιθέναι πειρᾶσθαι, τὸ κατ' εἰκόνα ζητοῦντα· τὸ δὲ, τῇ παρὰ τῶν ἔργων συμμαχίᾳ τοῖς ἀνθρώποις γίνεται· ἃ δ' οὐκ ἂν οἶμαι συσταῖεν, μὴ τῆς πρός τε τὸ θεῖον· πρός τε τοὺς ἀνθρώπους ἀγάπης, ὥσπέρ τινος κρηπῖδος ὑποκειμένης. Ταυτὶ γὰρ καὶ συγγραφαὶ καὶ παραινέσεις καὶ βιβλία πάντα βοῶσι· μὴ ἂν μὲν ἕνα μηδένα τῶν πάντων τεχνίτην ἡστινοσοῦν ἀρετῆς δυνηθῆναι γενέσθαι, ταύτης ἀπούσης· τῶν δὲ τοῦ Πνεύματος χαρισμάτων καὶ πάντων τῶν ἐν ἀνθρώποις ἀγαθῶν, ταυτηνὶ κεφάλαιον εἶναι· καὶ

177 ὅλην – ἐλεῶν] Ps. 36.26 ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος [...] || **189** κατὰ – ἔχειν] Iob 29.13 εὐλογία ἀπολλυμένου ἐπ' ἐμὲ ἔλθοι, στόμα δὲ χήρας με εὐλόγησε. || **189–190** καὶ – ἀσθενῶ] 2 Cor. 11.29 τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; || **191** Θεῷ – χρησμὸν] 1 Joh. 3.2 [...] ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστι.

167 πολλῷ] πολλῶν Ioannu **168** Θεοῦ] addidi, cf. etiam 1.169–170, 2.167, 5.957 **172** μετεληλύθει] ἐληλύθει P **181** ὀρέγων] ὀρέγειν BP **184–185** συμφοραῖς] συμφοραῖς ante μετ' ἐκείνων transp. P **185** ἐγίνετο] ἐγένετο VIPB | ποιήσας] ποιῆσαι Ioannu **192** τῶν] τῶν ex τὸν scr. B^{pc} **195** ἃ] scripsi: αἳ omnes codd. **199** τῶν] om. Ioannu

παρούσης μὲν, καὶ τὰς ἄλλας πολλοῦ τινος εἶναι· ἣν δ’ ἀπῇ, μηδὲν γεγονέναι πλέον ἀνθρώποις εἰς ἀρετὴν.

Ταῦτα τοίνυν ἐκεῖνος μάλιστα ἀνθρώπων γινώσκων, καὶ πρός γε ἔτι τὰ μὲν παρόντα, τῶν μηκέτ’ ὄντων μηδὲν ἄμεινον ἔχειν, ὄντα δὲ κυρίως Θεόν τε καὶ τἀκείνου πράγματα, τὴν δὲ ψυχὴν τῶν μὲν· ἔξω γενομένην, τῶν τε θείων καὶ τοῦ κατ’ αὐτὴν ἀξίαν εἶναι, ἔξω δὲ καθάπαξ ἑαυτῆς καὶ τοῦ μηδενὸς ἀξίαν, ἣν κάτω νεύῃ, Θεοῦ δὲ καὶ τῶν ἐκείνῳ φίλων, ἔχεσθαι μὲν, μόνην μάλιστα πασῶν εὐδαιμονίαν εἶναι, τὸν δ’ ἀλογοῦντα, πάντων ἀθλιώτατον, ταῦτα τοίνυν ἐκεῖνος, εἰ δεῖ τοῖς αὐτοῖς καὶ αὖθις κεχρῆσθαι, μάλιστα ἀνθρώπων γινώσκων, ἅτε πνεῦμα Θεοῦ ἔχων, Παῦλος ἂν εἶπε, τὰ μὲν βελτίω προύθηκε τῶν ἧττον ἐχόντων, καὶ πάντα προΐετο, τὸν πολλῶν ἄξιον ὠνούμενος μαργαρίτην. Θεῷ δὲ τοσοῦτον ἐχρῆτο, καὶ οὕτω μανικός τις ἦν ἐραστὴς τῆς μετ’ αὐτοῦ συναυλίας, ὡς μόνῳ μὲν τῶν ὄντων τούτῳ προσκεῖσθαι· τὸ δὲ τοῖς λογισμοῖς ἐκείνῳ συνεῖναι, πάσης ἡστινοσοῦν ἡδονῆς ἡγεῖσθαι κεφάλαιον· καὶ πρόσεστι τὸ εἰκὸς· τῆς γὰρ περὶ τὰ παρόντα προσπαθείας, τὴν ψυχὴν ἐλευθέραν ποιησαμένῳ, καὶ ἐκεῖνο ἐξ ἀνάγκης εἵπετο, μόνων μὲν τῶν θείων ἀντιποιεῖσθαι, καὶ μόνην ἡγεῖσθαι βίου ῥᾳστώνην, τὴν περὶ ταῦτα σπουδὴν· Θεὸν δὲ, πρῶτα μὲν δεδοικέναι· καὶ διατοῦτο τοῖς ἐκείνῳ δοκοῦσιν ἀκολουθεῖν· οὗ γὰρ φόβος, ἐντολῶν τήρησις. Εἶτα ἐντεῦθεν τὴν ψυχὴν καθαρθέντα, καὶ ταύτῃ γενόμενον ὅμοιον τῷ καθαρῷ ⟨Θεῷ⟩, φιλῆσαι τὲ εὐθὺς διατοῦτο, καὶ τοσοῦτον ἔρωτα τῶν ἐκείνου λαβεῖν, ὡς μηδ’ ἀναπνεῖν ἔχειν, εἰ μὴ πρὸς ἐκεῖνον ὁρῴη. Ταῦτα γὰρ ἀλλήλων ἔχεται· καὶ οὔτε Θεόν τις ἂν ἀγαπῴη, μὴ πρότερον τῶν ἐκείνου πραγμάτων φροντίσας, ὅ, τε Θεῷ χρησάμενος, οὐκ ἂν δύναιτο μὴ πάντα πράττειν οἷς ἂν ἐκεῖνος ἡσθείη.

Οὕτω δὲ πάνυ τοι περὶ Χριστὸν ἐρωτικῶς Δημήτριος ἔχων, εἰ μὲν εἶχε σωματικῶς ὁρᾶν αὐτὸν καὶ συνεῖναι, καὶ λόγων κοινωνεῖν καὶ συλλόγων, καὶ γλώσσης ἀπολαύειν ἐκείνης, καθάπερ τοῖς εὐδαιμονεστάτοις ἀνθρώπων ἐκείνοις ἐξεγένετο, οὔτ’ ἂν ἀφίστατό ποτε, οὐ μᾶλλόν γε ἢ τῆς ψυχῆς τῆς ἑαυτοῦ, καὶ τοῦ πάθους ἂν ἐκοινώνει, καὶ τῶν δυσχερῶν ἁπάντων μετεῖχε, δεδόσθω δὲ εἰπεῖν, φιλῶν τὲ ὑπὲρ τοὺς ἄλλους, καὶ μάλιστα ἀνθρώπων φιλούμενος, καὶ τὸν πόθον οὕτως ἀπέδωκεν ἄν· ἐπεὶ δὲ ταῦτα οὐκ ἐνῆν, οἷς {ἐνῆν}, ἐζήτει συνεῖναι· καὶ δῆτα τὴν ψυχὴν καθαίρων τὲ καὶ λεπτύνων, καὶ θείαν οἷς εἶχε παρασκευάζων, ὅ δ’ ἔπειτ’ αὐτὸν ἔνοικον ἐδέχετο τὸν

209–210 πάντα – μαργαρίτην] allusio ad Math. 13.45–6 Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας· ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην ἀπελθὼν πέπρακε πάντα ὅσα εἶχε καὶ ἠγόρασεν αὐτόν. || **215–217** Θεὸν – τήρησις] allusio ad Ecclesiast. 23–24 ἐν παντὶ ἔργῳ πίστευε τῇ ψυχῇ σοῦ· καὶ γὰρ τοῦτό ἐστιν τήρησις ἐντολῶν. Ὁ πιστεύων νόμῳ προσέχει ἐντολαῖς, καὶ ὁ πεποιθὼς Κυρίῳ οὐκ ἐλαττωθήσεται. || **229–230** ὅ – ἐπαγγελίαν] allusio ad 2 Cor. 6.16 […] ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος, καθὼς εἶπεν ὁ Θεὸς ὅτι ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός, […]

202 γινώσκων] post γινώσκων verba ἅτε πνεῦμα Θεοῦ ἔχων· Παῦλος ἂν εἶπε scr. et del. B **211–217** τὸ – τήρησις] verba σημείωσαι ἅπαν in inferiore recto margine scr. V **214** μόνων] μόνῳ Ioannu **218** Θεῷ] addidi: cf. infra 1.169–170, 2.167, 5.957 **227** πόθον] πόνον Ioannu | ἐπεὶ] ἀπὸ Ioannu **228** ἐνῆν[2]] seclusi

Σωτῆρα, κατὰ τὴν γενομένην τοῖς κεκαθαρμένοις ἐπαγγελίαν. Ἐντεῦθεν, ἡ μὲν, αὐτῷ θεοειδής τις ἦν εἰκότως· καὶ Πνεύματος καὶ τῶν τοῦ Πνεύματος πλήρης, τοὺς θείους σῴζουσα χαρακτῆρας· τὸ σῶμα δὲ οὕτω προσῆκον, ὡς μὴδὲ συμβαίνειν ἔχειν αὐτῷ τὴν ἐπωνυμίαν· οὕτως ἄμεινον εἶχεν ἢ κατὰ σῶμα· οὕτω μὲν γὰρ ἔδει τοῦ πρὸς ἡδονὰς ἔχειν, ὥσπερ εἰ μὴδὲ τὴν ἀρχὴν σώματος ἐκείνῳ προσῆκεν. Οὕτω δὲ τὴν ψυχὴν ἐλευθέραν ἐποιήσατο τῆς ἀπὸ τούτων ἀχλύος, ὡς μηδ’ ἐν τῷ τῶν λογισμῶν ὡς εἰπεῖν αὐτονόμῳ τὰ τοιαῦτα δέχεσθαι, καθάπερ λελυμένην σώματος· ὥστε ἐκεῖνο ἐξεῖναι εἰπεῖν, τὰ μὲν ἄλλα, μετὰ τῶν ἀνθρώπων ἐκεῖνον εἶναι· καὶ τῶν ἄλλων ἁπάντων, μετέχειν τοῖς ἄλλοις κατὰ ταυτά· παρθενίαν δὲ· καὶ τὸ κατ’ αὐτὴν ἔχον, μείζων μὲν ἢ κατ’ ἀνθρώπους γενέσθαι, ἀγγέλοις δὲ τῶν ἴσων μετέχειν· οὕτως ἁγνότατος ἦν. Καίτοι· εἰ τοὺς ἀρίστους νέους ἐκείνους θαυμάζειν εἰκὸς, ἀνθῶν οὕτω Θεῷ σφᾶς αὐτοὺς ἀνέθεσαν, ὥστε καὶ πῦρ αὐτοῖς τῶν σωμάτων ἥττητο, ᾧ γε τοσοῦτον περιῆν τοῦ περὶ Χριστὸν ἔρωτος, ὥστε περιγενέσθαι μὲν τῶν ἀπὸ τῆς φύσεως τοῖς ἀνθρώποις ἀκολουθούντων, πῦρ δὲ παθῶν ἐλέγξαι τοῦ πυρὸς ἐκείνου πολὺ χαλεπώτερον ἔχων, πῶς οὐχ ὡς ὑπερφυεῖ προσῆκε προσέχειν; Εἶεν.

Ἐπεὶ τοίνυν ᾔδει δίχα Χριστοῦ καὶ τῆς ἐκεῖθεν συμμαχίας, μηδὲν ἂν τῶν ἀγαθῶν μηδένα ἀνθρώπων δυνηθῆναι ποιῆσαι, «χωρὶς γὰρ ἐμοῦ» φησιν «οὐ δύνασθε ποιεῖν οὐδὲν», τὴν δὲ πρὸς Θεὸν εὐχὴν ἔχειν μόνην τοῦτο περαίνειν, μὴδὲ γὰρ ἂν ἄλλως ἐνεῖναι σύμμαχον εἰληφέναι Θεὸν, τοσούτου τινὸς ἄγειν ᾤετο προσευχὴν, ὥστε καὶ κατὰ τοὺς Παύλου νόμους, οὐκ ἦν ὅτε μὴ συνεμίγνυ Θεῷ· τοῦτο μὲν διὰ τὴν ῥοπὴν τὴν ἐκεῖθεν· τοῦτο δὲ καὶ τῶν περὶ αὐτὸν ἐρώτων, πρὸς ἀνάγκην κινούντων· καὶ οὐκ ἐώντων τῆς μετὰ Θεοῦ συναυλίας ἅπαξ γεγευμένον, μεταχωρεῖν· ἀλλ’ ὅρος ἦν ὁ βίος αὐτῷ, τῆς ἐν τῷ Σωτῆρι διατριβῆς· μόνος οἶμαι Παῦλον κωλύσας εἰ μὴ μέγα φάναι, πάντων ἀνθρώπων περιγενέσθαι τῷ περὶ τὸν Δεσπότην ἔρωτι· ὥστε μὴδὲ εἶναι μηδέν τι τῶν πάντων, οὐ τῶν ἐνεστώτων· οὐ τῶν μελλόντων· ὅπερ ἂν τῆς περὶ Χριστὸν ἀγάπης, καὶ Δημήτριον ἀπαγάγοι. Ἐγὼ δὲ καὶ ἐκεῖνο ἂν εἴποιμι, παντὸς μᾶλλον ὑπὲρ τοῦ μεγάλου προσῆκον· ὡς εἴ γε μὴδ’ ἡτισοῦν ἦν τῶν μελλόντων ἀγαθῶν ἐκείνων ἐλπὶς· μὴδ’ ἆθλα προύκειτο ταῖς ὑπὲρ τῆς ἀρετῆς ἀγωνίαις, Δημήτριον ἂν ἀπὸ μόνης τῆς εἰς Χριστὸν εὐσεβείας, μηδενὸς ἧττον τῶν τι λαβεῖν ἠλπικότων ὑπὲρ τῶν θείων ἐπιταγμάτων, πάντα καὶ λέγειν καὶ πράττειν καὶ πάσχειν οἴεσθαι δεῖν, ἆθλα λαμπρὰ τοὺς τοῦ Σωτῆρος ἔρωτας, καὶ μόνην ταύτην τῶν πόνων ἀμοιβὴν ἡγούμενον. Ὁ δὲ τούτων οὐκ ἂν ὄντων, καὶ δίχα τῶν ἀγαθῶν ἐλπίδων, καὶ τῶν ἀλειφόντων ἄθλων, τοιοῦτος ἂν γεγονὼς, ὁποῖον προσῆκε τὸν τοιοῦτον μετὰ τούτων νομίζειν, καὶ ὁποίαν παρέχεσθαι τὴν ψυχὴν; Ἐπεὶ καὶ μὴ μόνον ἐν ἐλπίσιν ἦν τὰ μέλλοντα Δημητρίῳ, ἀλλὰ καὶ μετὰ σώματος καὶ τῶν ἐνταῦθα μετέχων, τῶν

240–241 εἰ – ἥττητο] allusio ad Daniel 3.1–3.33 || **246–247** χωρὶς – οὐδὲν] Joh. 15.5 ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολὺν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. **248–249** ὥστε – Θεῷ] allusio ad Gal. 2.20 ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός·

---

236 ὥστε] ὥστ’ Ioannu **241** ἥττητο] ἥττηντο Ioannu **244** ἔχων] M: ἔχον IBP; ἔχον ex ἔχων scr. V^{pc}
246 γὰρ] γὰρ ex μὲν scr. I^{pc}, μὲν Ioannu | δύνασθε] δύνασθαι Ioannu **259** πάντα] πάντας Ioannu
261 ἡγούμενον] ἡγούμενος P **263** ἐν] om. Ioannu

ὑπερφυῶν ἀγαθῶν εἰς πεῖραν ἥει, καὶ πρὸ τοῦ καιροῦ καὶ τῶν ἄθλων, καὶ μεταξὺ τῶν ἀγώνων, τῶν στεφάνων ἔτυχεν. Εἰ γὰρ βασιλείαν οὐρανῶν· καὶ λῆξιν δικαίων, καὶ πάντα ταῦτα τὸν Χριστὸν αὐτὸν ἴσμεν, τοῦτο μὲν αὐτοῦ Σωτῆρος «ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστιν», ἑαυτοῦ πάντως εἰπόντος, τοῦτο δι᾽ Ἰωάννου τοῦ πάνυ, τὴν οὐρανῶν βασιλείαν, ἐπὶ θύρας ἰέναι τὸν Χριστὸν οἶμαι, εἰ τοίνυν, Χριστὸς μὲν ἡ τῶν οὐρανῶν βασιλεία· ὁ δὲ· διὰ βίου τούτῳ καὶ συνῆν καὶ συνέζη, πῶς οὐχ ὃ λέγω φαίνεται· ἔτι δὲ καὶ τούτων χωρὶς, τὸ νικῶντα διαγενέσθαι, καὶ τοὺς ἀγῶνας ἐσχηκέναι κατ᾽ εὐχὴν προχωροῦντας, ἐξ ὧν τὰ γέρα, τῶν γερῶν ἐστιν ἐπειλῆφθαι, καὶ μετὰ τῶν ἐστεφανωμένων ἵστασθαι, τρόπον δή τινα;

Οὕτω δὲ πολλῶν καὶ μεγάλων ἀπὸ τῆς περὶ Χριστὸν ἀγάπης ἀπολελαυκὼς τῶν χαρίτων, καὶ κοσμῶν μὲν τοὺς ἀνθρώπους, ἀγγέλους γε μὴν, καὶ τὴν ὑπὲρ ἡμᾶς φύσιν, εἰς ἔκπληξιν ἐνάγων καὶ θαῦμα, ἄλλος μὲν ἂν, πολλοῦ τινος αὐτὸν ἦγε, καὶ τὰς ἀμείνους δόξας ἔχων περὶ ἑαυτοῦ, τῶν ἄλλων ὡς οὐδενὸς ἀξίων ὑπερεώρα, τύφῳ δουλεύων. Δημήτριος δὲ· τοσοῦτον ἀπεῖχε, τοῦ μείζω τῶν γιγνομένων διαταῦτα φρονῆσαι, καὶ τὴν ψυχὴν κουφίσαι ταῖς βελτίοσι τῶν ἐλπίδων, ὥστε καὶ διὰ ταυτί γε, πολλῷ μειζόνως ταπεινοφρονεῖν ᾤετο δεῖν· εἰκότως· μάλιστα μὲν διὰ τὸ τὸν ἑταῖρον Θεοῦ καὶ περὶ αὐτὸν ἔχοντα οἷος ἐκεῖνος, χρῆναι κατ᾽ ἐκεῖνον πρᾷον εἶναι καὶ ταπεινὸν τῇ καρδίᾳ, μηδὲ γὰρ ἂν ἐνεῖναι δυνηθῆναι κοινωνὸν γενέσθαι Θεοῦ, τὸν ἑτέρως ἔχοντα· τῶν γὰρ ἀθεμίτων κομιδῇ, τἀναντία μετ᾽ ἀλλήλων γενέσθαι, καὶ τῆς τἀγαθοῦ συναφείας τὸν πονηρὸν ἀξιοῦσθαι· ἔπειτα καὶ ἐκεῖνα σκοποῦντα, ὡς ἄρα πολλῶν μὲν καὶ μεγάλων ἀγαθῶν ἠξιώκει· καὶ κοινῇ καὶ καθ᾽ ἕνα πάντας ἀνθρώπους· καὶ θαυμαστὸν ἔχει περὶ τὸ γένος ὁ Δεσπότης τὸ φίλτρον· καὶ τοῦτο μὲν ἡμᾶς μηδὲν ὄντας, ὄντας παρεσκεύασεν εἶναι, τοῦτο δ᾽ οὐρανὸν ἡμῖν καὶ γῆν καὶ ἥλιον καὶ πάντα ταῦτα, καὶ οὐ παύεται τὸν ἅπαντα χρόνον, τοῦτο μὲν τὴν ψυχὴν εὖ ποιῶν, τοῦτο δὲ τῆς ἑτέρας μερίδος πολὺν ποιούμενος λόγον, ἡμεῖς δ᾽ ἔπειθ᾽ οὕτω τοσούτων ὑπόχρεως ὄντες, οὐδὲ χάριν εἰδέναι τὴν ἀξίαν ἔχομεν, οὐδ᾽ ἐγγὺς· ἀλλὰ τοσοῦτο καὶ τούτου δέομεν πάντες, ὅσο καὶ τῆς φύσεως ἐξίστασθαι τῆς ἡμῶν αὐτῶν· ταῦτα τοίνυν ἐννοοῦντα· καὶ τούτους ἄνω καὶ κάτω τοὺς λογισμοὺς στρέφοντα, μετριότητι περὶ πάντα κεχρῆσθαι, καὶ ταπεινοφροσύνῃ μάλιστα τῶν ἄλλων προσέχειν ἔπεισε, καὶ τὴν μὲν ὑπόστασιν αὐτοῦ κατὰ τὸν Δαυῒδ ὡς οὐδὲν οὖσαν κρίνειν ἐνώπιον τοῦ Θεοῦ, πάντα δὲ τὰ προσόντα βέλτιστα, καὶ ὧν ἂν ἑαυτῷ γε ἔχοι συγχαίρειν, μόνῳ λογιζόμενον τῷ Θεῷ· ἔπειτα στεφάνους ὑπὲρ τούτων, οὐ μόνον οὐ προσδοκᾶν, ἀλλὰ καὶ προσοφείλειν· καὶ τούτων χάριν δέον εἶναι νομίζειν, ὡς ἐκεῖθεν ὄντων αὐτῷ· – ἥ γε μὴν τοῦ Θεοῦ πρὸς ἀνθρώπους ἐπιδημία, καὶ τὸ δεινὰ

267–268 τοῦτο – ἐστιν] Luc. 17.21 […] ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν. **268–269** τοῦτο – οἶμαι] allusio ad Joh. 10.9 ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται […] || **294–295** καὶ – Θεοῦ] Ps. 38.6 […] καὶ ἡ ὑπόστασις μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου […]

---

267 αὐτὸν] om. P **268** ἑαυτοῦ] recte corr. Ioannu: ἑαυτὸν omnes codd. **273** ἐστεφανωμένων] ἐστεφάνων P **276** ἐνάγων] MVBP: ἄγων I | αὐτὸν] αὑτὸν Ioannu **285** μὲν] om. BP | ἀγαθῶν] om. BP **287** ὄντας[2]] om. Ioannu | παρεσκεύασεν] παρασκευάσας Ioannu | δ᾽] δὲ Ioannu **290** τοσούτων] τοσοῦτον BP **291** ὅσο] ὅσο (γρ. ὅσῳ) Ioannu **294** αὐτοῦ] αὑτοῦ IMV

παθεῖν αὐτὸν ὑπὲρ ἡμῶν καὶ τεθνάναι, τίνα φιλανθρωπίας καὶ ταπεινοφροσύνης ὑπερβολὴν οὐκ ἂν ἔχοντα, πρὸς μνήμην ἰόντα; – καὶ πρός γε ἔτι τὰς ἰδίᾳ πρὸς αὐτὸν ὑπηργμένας εὐεργεσίας σκοποῦντα. Οὕτω μετρίως παρεσκεύασεν ⟨ἑαυτὸν⟩ ἔχειν, ὡς πᾶσαν μὲν τῆς ψυχῆς ἀπελάσαι τὴν κάκιστ' ἀπολουμένην ὑπερηφανίαν, θυμοῦ δὲ περιγενέσθαι καὶ λύπης, καὶ πάθους παντὸς ὁτουοῦν· μᾶλλον δὲ καὶ ταῦτα μεταβάλλειν, καὶ πείθειν, τῶν εἰκότων ἔχεσθαι· καὶ λυπεῖσθαι μὲν, οἷς λυπεῖσθαι προσῆκε· χαίρειν δὲ, οἷς μάλιστα χαίρειν ἐχρῆν· θυμὸν δὲ καὶ τὴν τῆς ὀργῆς ἀνάγκην, ἐπὶ τὰς πανουργίας τοῦ Βελίαρ παρακαλεῖν· πρὸς δὲ τοὺς ὁμοφύλους, πρᾳότητι τοσαύτῃ κεχρῆσθαι, ὡς καὶ κατὰ τὴν τοῦ Θεοῦ καρδίαν πολιτεύεσθαι δυνηθῆναι, καὶ μετὰ Δαβίδου τὰ τοιαῦτα γίνεσθαι.

Οὐ μὴν ἐφ' οὕτω τοι ταπεινοφροσύνης προβὰς, πρὸς ἀνελευθεριότητα καθάπαξ ἐξῆγε, καὶ τὸ τῆς ψυχῆς κατήνεγκε φρόνημα, πᾶσι μὲν ὁμοίως χρώμενος, μείζω δὲ οὐδενὸς φρονῶν, ἀνδρίαν δὲ ἀτιμάζων· ἀλλὰ ταπεινῶν ἑαυτὸν, ὑψηλοτέραν καὶ πολλῷ βελτίω τὴν διάνοιαν εἶχε· καὶ διατοῦτο τῶν πραγμάτων τῇδε κἀκεῖσε μεταχωρούντων καὶ κινουμένων, αὐτὸς οὐδὲν ἧττον ἀκίνητος ἦν.

Οὕτως οὐδὲν τῶν εἰς εὐφημίαν φερόντων ἔξω καταλιπὼν ἑαυτοῦ, παντὸς ἀγαθοῦ κεφάλαιον ἦν· παρελθὼν μὲν τὸν ἄνθρωπον καὶ κοσμήσας, ἔργοις δὲ πᾶσι δείξας, τὴν ἐνοῦσαν τῇ φύσει δύναμιν. Οὐ γὰρ τὸ μὲν· τῶν ἀγαθῶν διώκειν ᾤετο δεῖν, τό δ' οὔ· οὐδὲ πάντα μὲν, οὐ μετὰ τοῦ νικᾶν δὲ· ἀλλ' ὥσπερ φιλονεικήσας, πᾶσι τοῖς ἐκ τῶν ἀγαθῶν στεφάνοις ἐπικοσμῆσαι τὸν βίον, οὕτω διετέλεσεν ἔχων. Καὶ πρόσεστι τὸ δικαίως. Εἰ γὰρ ἀγαθὸν ἅπαν θεόθεν τοῖς ἀνθρώποις γίνεται, Δημήτριος δὲ τούτῳ μάλιστα τῶν ἄλλων ἐχρῆτο, καὶ τῶν ἑταιροτάτων ἦν αὐτῷ καὶ φιλτάτων, κοινὰ τὰ τῶν φίλων τῆς παροιμίας νομοθετούσης, πῶς οὐ δῆλός ἐστιν εἰκότα παθὼν, πάντων ἐκείνῳ τῶν ἀγαθῶν κοινωνήσας; Χωρὶς δὲ τούτων, τὸν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων εἰς ἀνθρώπους τελοῦντα, καὶ διατοῦτο καὶ φύντα τηναρχὴν, εἰκὸς ἦν οἶμαι, θεοείκελόν τινα τοῖς ὅλοις γενέσθαι, ὡς ἂν ἀντὶ τοῦ σωτῆρος τοῖς ἀνθρώποις φανεὶς, καὶ τοῦτο τὸ μέρος Θεῷ προσῆκον, ἔχῃ κἂν τοῖς ἔργοις συμβαίνειν, καὶ διὰ πάντων ἁρμόττειν, καὶ μὴ τὰ μὲν πρὸς ἐκεῖνον ὡς παράδειγμα βλέπων, θατέρου δὲ τοῦ μέρους ἐλλείπων, τὴν εἰκόνα ψεύδηται. Ὁ μὲν γὰρ τοῦ γένους τοῖς ἀνθρώποις πατὴρ, κακῶς εἴς τε ἑαυτὸν καὶ τοὺς θείους πολιτευσάμενος νόμους, μὴ μόνον αὐτὸς δήπουθεν ἔπραξε κακῶς τὸν Θεὸν ἀπολέσας, ἀλλὰ σύν γε τῷ καθ' αὑτὸν καὶ πάντας ἀνθρώπους, ἄτῃ ἐνέδησε βαρείῃ κατὰ τὸ ἔπος· Δημήτριος δὲ· περί τε τὴν ψυχὴν ἑαυτοῦ, περί τε τοὺς Χριστοῦ νόμους τὰ εἰκότα τηρήσας, {ὅ δ'} ἔπειτ' οὐχ ἑαυτῷ

321 κοινὰ – νομοθετούσης] cf. e. g. Plut. *Ὅτι οὐδ' ἡδέως ζῆν ἔστιν κατ' Ἐπίκουρον* (Westman 1102 F) […] καὶ κοινὰ τὰ τῶν φίλων, καὶ φίλοις τοῖς θεοῖς οἱ ἀγαθοὶ […] || **330** ἄτῃ – ἔπος] Hom. *Il.* (Allen 2.111) Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ

299 αὐτὸν] om. BP **300** οὐκ ἂν] om. BP | ἰδίᾳ] ἰδίας Ioannu **301** ἑαυτὸν] addidi **304** ἔχεσθαι] post ἔχεσθαι verba αβξηνσ̣ο̣ς/επησυχερ καυχαρυτομμενπασυκυτησυ in margine inferiore ex manu juniore M **315** κεφάλαιον] post κεφάλαιον ἦν verba ιιιιταχεεσεεβ ex manu juniore scr. M **322** τὸν] τῶν P **325** προσῆκον] MV: προσήκων IBP **329** αὐτὸν] ἑαυτὸν VIBP **331** ὅ δ'] seclusi

μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις θαυμαστὸς εὐεργέτης κατέστη· καὶ μετὰ τὸν Δεσπότην, προστάτης τῷ κοινῷ τῶν ἀνθρώπων.

Δῆλον δὲ. Ἐπεὶ γὰρ μὴ μόνον θαυμαστός τις ἦν σπουδαστὴς τῆς κατὰ ψυχὴν εὐπραξίας, ἀλλὰ καὶ ῥώμης καὶ φρονήσεως εὖ ἔχων, ᾔδει κατὰ τὸν ποιητὴν βουλάς τ' ἐξάρχειν ἀγαθὰς· πόλεμόν τε κορύσσειν, καὶ στρατηγεῖν μὲν εἶχε· βουλεύεσθαι δὲ οἷος τ' ἐγένετο ἃ προσῆκε, πράγματα δὲ πολιτευόμενος πάντων ἐκράτει, καὶ πολλοῦ τινος διὰ ταῦτα τοῖς κρατοῦσιν ἐδόκει, καὶ κοινὴ τοῖς πράγμασι λυσιτέλεια. Καὶ παρεκαλεῖτο γε ἐπὶ τὰς ἀρχὰς, καὶ τὸ πραγμάτων ἅπτεσθαι, καὶ παρεῖναι σφίσι καὶ συμμαχεῖν τὰ βέλτιστα, καὶ μετέχειν μὲν τῆς ἀγαθῆς τοῖς κρατοῦσι τύχης, μεταδιδόναι δὲ τῶν ἀπὸ τῆς ψυχῆς ἀγαθῶν, ἐξ ὧν ἄμεινον πράξειν ἐλπὶς ἦν, διὰ ταῦτα δὴ, καὶ δέχεται τὴν ἀρχὴν τῶν Ἑλλήνων. Γενόμενος δὲ ἐπὶ τῶν πραγμάτων, οὐ πλοῦτον ἐφίλησεν· οὐ δόξης ἑάλω· οὐ τύχῃ προσέσχε τὸν νοῦν· ἔδειξε δὲ ὑπὲρ μὲν τῶν ἄλλων, οὐδενὸς· μόνου δὲ Χριστοῦ καὶ τῶν ἐκείνου νόμων, τὴν ἀρχὴν ᾑρημένος· καὶ πρὸς δόξαν Θεοῦ κατὰ τὸν θεῖον Παῦλον καὶ τἄλλα ποιῶν, καὶ τῷ τῆς ἀρχῆς χρησάμενος δεδωκότι.

Τεκμήρια δὲ. Ἐπεὶ γὰρ ἐκράτει τὰ χείρω, τῶν ἀσεβούντων τῶν πραγμάτων ἐπειλημμένων, καὶ πάντα ζάλη καὶ κλύδων εἶχε, τῶν ἐν ἀνθρώποις ὑγιαινόντων, ὀλίγων κομιδῇ καταστάντων, καὶ τούτων κρυπτομένων· διωκομένων· θανατώντων, τῷ δέει τῶν ἐπὶ τὴν εὐσέβειαν, πάντα ποιούντων, καὶ θαυμαστῆς τινος ἐν τῷ τότε τοῖς πράγμασιν ἐπιπεσούσης ἀχλύος, καὶ προσδοκωμένων αὐτίκα μάλα καθάπαξ χριστιανῶν ἐκτριβῆναι, τοῦ μὲν χεῖρα διδόντος οὐδενὸς ὄντος, πάντων δὲ σχεδὸν ἀνθρώπων ταῖς συμφοραῖς συμμαχούντων, μόνος ὡς ἔπος εἰπεῖν ἀντετάξατο τῇ κατὰ τῶν εὐσεβούντων φορᾷ· καὶ χεῖρα σώζουσαν ὑπερέσχεν, ἐν τῷ καλοῦντι τοῦ καιροῦ συμμαχήσας, καὶ μονονοὺ κλιθεῖσιν εἰς γόνυ παραστὰς τοῖς πράγμασι· καὶ γέγονε τοῖς εὐσεβοῦσιν ἀγαθὴ τύχη· καὶ μεταξὺ κυμάτων γαλήνη· καὶ πάντα τὰ βέλτιστα.

Τὸ μὲν οὖν δημαγωγεῖν τοῖς Ἕλλησι τὰ πράγματα, καὶ στρατηγεῖν· καὶ διοικεῖν· καὶ βουλεύεσθαι καὶ πράττειν, ἃ τῷ κοινῷ τοῦ γένους λυσιτελήσει, χρημάτων εἵνεκα· καὶ δόξης· καὶ σωτηρίας, ἄρχουσι μὲν προσήκειν διὰ φροντίδος εἶναι ᾤετο, καὶ αὐτῷ μάλα πρὸς τρόπου· ἀλλὰ τὸν ἄλλον χρόνον· τηνικαῦτα δὲ τῆς περὶ Χριστὸν εὐσεβείας κινδυνευούσης ἀπολωλέναι, καὶ τοῦ καιροῦ καλοῦντος τὸν προστησόμενον, εἰκός γε ἐδόκει, μὴ ὅτι τὰ Ἑλλήνων, ἀλλὰ καὶ τὰ αὑτοῦ, καὶ τὴν ψυχὴν ὡς εἰπεῖν τὴν αὑτοῦ καὶ πάντα ἀφέντα, μόνων τῶν ὑπὲρ αὐτῆς ἀγώνων γενέσθαι, καὶ στῆναι κατὰ τῆς πλάνης, ὅπλα δικαιοσύνης κινοῦντα, καὶ τὴν τοῦ Πνεύματος μάχαιραν, τὴν γλῶτταν δὴ τὴν αὑτοῦ· ἐπεὶ καὶ τὴν ἀρχὴν εὖ ποιήσειν ἀπὸ τουτωνὶ τῶν ἀγώνων, πάνυ γὰρ ἂν καλῶς τὴν Ἑλλάδα πρᾶξαι, τοῦ Χριστοῦ παρελθόντος. Καὶ τοίνυν Δημητρίῳ μὲν ἡ

335–336 κατὰ – κορύσσειν] Hom. *Il.* (Allen 2.273) βουλάς τ' ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων **345** πρὸς – ποιῶν] allusio ad 1 Cor. 10.31 Εἴτε οὖν ἐσθίετε εἴτε πίνετε εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. || **364** τὴν[1] – μάχαιραν] allusio ad Eph. 6.17. τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ

349 θανατώντων] θανατων P **354** εὐσεβούντων] MIVB: ἀσεβούντων P **359** αὐτῷ] αὑτῷ P

γλῶσσα ἐνεργὸς ἦν, τὴν τῆς ψυχῆς ἐπιδεικνῦσα περὶ τὸν Χριστὸν προθυμίαν· πάντες δ’ οὓς ἡ ἐκείνου φήμη κατέσχε, καὶ Ἑλλήνων καὶ βαρβάρων θέατρον ἦσαν· ἡδέως μὲν προσχωροῦντες, ἡττώμενοι δὲ πρὸς ἀνάγκην τῶν θαυμαστῶν ἐκείνων Σειρήνων· ὥστ’ οὐδεὶς ἦν, ὃς γεγονὼς τοῦ θεάτρου, πρὸς παλινῳδίαν ἐξῆγεν. Οὕτω φῶς ἐγένετο κόσμου, δεξάμενος μὲν αὐτὸς τὴν θείαν ἀκτῖνα, μεταδοὺς δὲ καὶ τοῖς ἄλλοις, καὶ λόγον διὰ ταῦτα φωτὸς καὶ ζωῆς ἐπέχων, Παύλου φωνή.

Πρῶτον μὲν οὖν ἐκεῖνο πάντας ἔπειθε καὶ Ἕλληνας καὶ βαρβάρους κοινῇ, πρῶτον τῶν ἄλλων προσῆκον εἶναι οἴεσθαι λόγον ποιεῖσθαι, τοῦ τίνα δεῖ νομίζειν εἶναι Θεόν· ὡς μόνην οὖσαν ταύτην ἀνθρώποις οὖσιν εὐδαιμονίαν. Εἰ γὰρ τὸ, ᾗ ὄντα ἐστὶ τὰ ὄντα εἰδέναι, τοῖς εὖ φρονοῦσι τῶν ἀνθρώπων εὐδαιμονία, τί ποτ’ αὐτὴν ἐροῦμεν τὴν ἐπιστήμην τοῦ Θεοῦ; Καὶ ἅμα πρώτου τοῦ παντὸς ὄντος, καὶ τοὺς ὑπὲρ αὐτοῦ λόγους, πρώτους ποιεῖσθαι προσήκειν τῶν ἄλλων παντὸς ὁτουοῦν· ἔπειτα, ταύτην μόνην περὶ τὸ θεῖον ὑγιᾶ δόξαν εἶναι, τὸ, Χριστὸν νομίζειν εἶναι Θεὸν, καὶ τοῦ παντὸς τοῦδε δημιουργὸν, ὃν διὰ τὴν περὶ τὸ γένος φιλανθρωπίαν ἄνθρωπον γενόμενον, ἵν’ αὐτὸ τῶν προτέρων ἀξιώσῃ χαρίτων, δῆλον ἀπό τε τῆς ὑπερφυοῦς πολιτείας, τῶν μεγάλων ἐκείνων ἔργων γενέσθαι· τὸ γὰρ, νῦν μὲν ἀπογεγονότας, εἰς τὸ φῶς αὖθις ἀνάγειν, νῦν δὲ τυφλοῖς τὰς ὄψεις δημιουργεῖν, καὶ τοῦτο μὲν τοὺς ἐνεργουμένους ἀπαλλάττειν τοῦ συνέχοντος κακοῦ, τοῦτο δ’ ἐντολὰς ἀέρι καὶ θαλάσσῃ διδόναι, καὶ μόνῳ τῷ βούλεσθαι πάντα ποιεῖν καὶ μετασκευάζειν, μόνης τῆς τοῦ Θεοῦ δυνάμεως εἶναι· καὶ διὰ ταῦτα τοὺς πολλοὺς θεοὺς νόθους ἐπὶ τῶν πραγμάτων φανέντας, χαίρειν εἰπόντας, τῆς περὶ Χριστὸν ἑταιρείας γενέσθαι, καὶ τῷ θαυμαστῷ λουτρῷ καθαρθέντας, εἰσποιηθῆναι Θεῷ· πάνυ τοι γὰρ τῶν ἀτοπωτάτων εἶναι, τὸν ἀγαθὸν ἀφέντας Θεὸν, τοῖς κάκιστ’ ἀπολουμένοις δαίμοσι τὰ καθ’ αὐτοὺς ἐπιτρέψαι, κτίσματα θεοὺς προσειπόντας, ἡμῶν χάριν καὶ τηναρχὴν γεγονότα, καὶ διατοῦτο τοῦ καθ’ ἡμᾶς καθάπαξ ἐλάττω· οὐ μὴν ἀλλὰ Χριστὸν Θεὸν ἐγνωκότας, οὐκ ἀγαπᾶν· οὐδ’ εὐσεβοῦντας καθεύδειν οἴεσθαι· οὕτω γὰρ ἂν οὐ τελείως ἀγαθοὺς εἶναι· ἀλλὰ σύν γε τούτῳ, καὶ τὴν ἀπὸ τῶν ἔργων προστιθέναι συντέλειαν· τὸ γὰρ εὐσεβεῖν, ἄνευ τοῦ τοῖς βελτίστοις ἔργοις προσέχειν, οὐδ’ ὀλίγα πρὸς τὸ ἀγαθοὺς γενέσθαι δύνασθαι, ἀποστόλων τὶς εἶπε· διὰ ταῦτα, περὶ τὸν Χριστὸν εὐσεβοῦντας, καλῶς

370–372 Οὕτω – φωνή] Phil. 2.15–16 […] φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ […] || **393–395** τὸ – εἶπε] Iac. 2. 14 Τί το ὄφελος, αδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις σῶσαι αὐτὸν; cf. etiam Iac. 2.17 οὕτω καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ’ ἑαυτήν.; Iac. 2.20 θέλεις δὲ γνῶναι, ὦ ἄνθρωπε κενέ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν;

367 πάντες] πάντας Ioannu **369** προσχωροῦντες] προχωροῦντες Ioannu **370** ὥστ’] ὅς τ’ P **371** δὲ] om. P **374** τοῦ] τοὺς Ioannu **378** ποιεῖσθαι προσήκειν] προσήκειν ποιεῖσθαι, supra προσήκειν letteram β, supra ποιεῖσθαι letteram α superscripsit V **381** τῶν] verbum τὸ ante τῶν add. V **382** τῶν] verbum καὶ ante τῶν add. P et supra lineam add. B | μεγάλων] ante μεγάλων verbum τε scr. M | ἔργων γενέσθαι] γενέσθαι ἔργων, supra γενέσθαι letteram B, supra ἔργων letteram A superscripsit P **384** ἀέρι] om. Ioannu **387** περὶ] omnes codd.: ἐπὶ Ioannu **389** αὐτοὺς] ἑαυτοὺς BP

390 θεοὺς] verba Προκόπιος Γρηγοριάδης Ιερομόναχος in margine supra dexteriore ex manu juniore scr. M

ποιοῦντας, καὶ τῶν ἐκείνου κατακούειν ἐπιταγμάτων· οὕτω γὰρ φιλοῦντας τὸν Θεὸν εἶναι, «ὁ γὰρ ἀγαπῶν με» φησὶ «τὰς ἐντολάς μου τηρήσει».

Οὕτω δὲ εὖ ἔχοντας τὰ τοιαῦτα, καὶ τοῦτον ἀμέλει πρὸς τὸν Χριστὸν διακειμένους τὸν τρόπον, καὶ λόγοις καὶ ἔργοις εἰς αὐτὸν εὐσεβοῦντας, ⟨ὡς⟩ μηδὲν ἔπειτα πρότερον ἄγειν τῆς περὶ αὐτὸν σπουδῆς, κἂν πάντες πάντα ποιῶσι καὶ λέγωσι, κἂν τὰ πάντων δεινότατα, τὰ μὲν, δρῶσι· τά δ' ἀπειλῶσιν, οἱ νῦν ἐπὶ κακῷ τῶν πραγμάτων, γῆς καὶ θαλάττης ἄρχοντες, πρῶτον μὲν ἐκεῖνο ἐνθυμουμένους, ὡς οὐκ ἄν ποτε δυσχερέσιν οὐχ ἑκόντας εἶναι περιπεσεῖν ξυγχωρῆσαι φιλάνθρωπος ὢν ὁ Δεσπότης, εἴ γε προῄδει μὴ ἂν δυνηθέντας ὑπενεγκεῖν· ὥστ' εἰ μὲν μετὰ τῆς εὐσεβείας ἔξω δυσχερῶν εἶεν, ἔξω τὲ πραγμάτων εἶναι, καί γ' εἰς ἀθλητὰς τῶν Χριστοῦ νόμων τάττειν, τῷ βεβουλῆσθαι· τῶν δ' ὑπὲρ εὐσεβείας κινδύνων συμπεπτωκότων, θαρρεῖν, καὶ μὴ δεδιέναι τὸν ἆθλον· κατὰ γὰρ εὐχὴν αὐτοῖς τουτονὶ προχωρῆσαι, τοῦ Θεοῦ συνειδότος καὶ συγχωροῦντος, ἅ γ' ἐστι τῶν δεινῶν, δυναμένοις ὑπενεγκεῖν· ἔπειτα, οὐδ' εἰκὸς τοπαράπαν εἶναι, τὸ πολίτευμα ἐν οὐρανοῖς ἐσχηκότας, περὶ σώματος καὶ τῶν ἐπὶ γῆς ἀγαθῶν δεδιέναι· καὶ μὴν, εἰ τέλος οὐκ εἶχεν τὰ καθ' ἡμᾶς, ἀθάνατοι δ' ἦμεν καὶ ἀγήραοι ἤματα πάντα, μάλιστα μὲν, οὐδ' οὕτω χρῆναι τῶν παρόντων ἀγαθῶν ἐξηρτῆσθαι· τὰ γὰρ μείζω, τὸν Χριστὸν καὶ τἀκείνου περὶ πλείονος ἄγειν· ἀλλ' οὖν, εἶχεν ἄν τινα τοῦτο λόγον· ἐπεὶ δὲ θνητοὶ πεφύκαμεν ἄνθρωποι, καὶ τὸν τοῦ περιεῖναι καὶ ζῆν εἰς πεῖραν ἰόντα, καὶ πρὸς ἀνάγκην τεθνήξεσθαι προσδοκᾶν ἐστι, πῶς οὐ δεινῶς ἄτοπον, εἰ ἃ στεφάνων χωρὶς ἀνάγκη παθεῖν, ταῦτα μετὰ στεφάνων καιροῦ καλοῦντος, οὐχ ἑλοίμεθα ἂν; Χωρὶς δὲ τούτων, τῆς μεγίστης ἀγνωμοσύνης, Θεὸν μὲν δεινὰ παθεῖν ὑπὲρ ἡμῶν καὶ τεθνάναι μηδαμόθεν αὐτῷ προσῆκον, ἡμᾶς δὲ δι' ἐκεῖνον, ἐῶ γὰρ λέγειν ὑπὲρ ἡμῶν αὐτῶν, οὐχ ἑλέσθαι ἀποθανεῖν, τοῦ πεφυκότος ἀπαιτοῦντος καὶ πρὸς ἀνάγκην τεθνηξομένους· ἄλλως τε, ἑλέσθαι δεῖν δυοῖν θάτερον· ἢ πρὸς γῆν ἔχοντας, μηδενὸς τῶν ἀϊδίων ἀγαθῶν εἰς πεῖραν ἐλθεῖν, ἢ τῶν Χριστοῦ γενομένους ἐρώτων, πρᾶξαι καλῶς· τὸ μὲν οὖν τουτωνὶ τῶν ἀγαθῶν ἐφίεσθαι οἴεσθαι δεῖν, ἀγνοούντων σφᾶς αὐτοὺς εἶναι· κρείττους γὰρ αὐτῶν γενομένους, ἔπειτα τῶν ἔλαττον ἐχόντων ἐρῶντας, μὴ πόρρω μανίας εἶναι· ἔρωτα γὰρ ἔχειν ἐκείνων, ἃ πρὸς τῷ μείζω καθάπαξ εἶναι, καί γε ἐν καιρῷ τοῖς ἐρῶσι γίνεται· Θεοῦ δὲ ἐρᾶν, οὐχ ὅσον εὐδαιμονοῦντας τοὺς ἐρῶντας τίθησι τὴν ἀρίστην εὐδαιμονίαν, ἀλλὰ καὶ ἀνθρώποις μάλα πρὸς τρόπου, καὶ τῷ

---

397 ὁ – τηρήσει] Joh. 14.15 Ἐάν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσει. || **402–404** ὡς – ὑπενεγκεῖν] allusio ad 1 Cor. 10.13 [...] πιστὸς δὲ ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν || **409** τὸ – ἐσχηκότας] Phil. 3.20 ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, [...] || **411** ἀθάνατοι – πάντα] cf. e. g. Hom. *Il.* (Allen 8.538–339) [...] εἰ γὰρ ἐγὼν ὣς / εἴην ἀθάνατος καὶ ἀγήρως ἤματα πάντα

---

399 ὡς] addidi **402** ἄρχοντες] ὑπάρχοντες Ioannu **403** οὐχ] om. et verba γράφεται οὐχ ἑκόντας in margine add. I **405** τὲ] omnes codd.: τῶν scr. Ioannu | Χριστοῦ] verbum τοῦ ante Χριστοῦ add. Ioannu **406** τάττειν – βεβουλῆσθαι] omnes codd.: [μεῖζον ᾤετο βαλεῖσθαι] scr. Ioannu **407** τουτονὶ] τουτῳΐ Ioannu **408** ἅ] εἰ Ioannu **410** εἶχεν] ἦν Χριστὸς scr. Ioannu **411** ἀγήραοι ἤματα] ἀγήρῳ, οἰήματα Ioannu **422** δεῖν] δεῖ PB **425** τοὺς ἐρῶντας] om. I

κοινῷ τῶν ὄντων πεφυκότι, πάνυ προσῆκον· πάντα γὰρ κατὰ φύσιν ἐρᾶν τοῦ Θεοῦ· ἀνθ’ ὧν, μόνῳ μὲν τῶν πάντων προσκειμένους εἶναι Θεῷ, προσκειμένους δὲ, καὶ τοὺς νόμους τοὺς ἐκείνου σώζειν πειρᾶσθαι· τῶν δὲ νόμων τῶν ἐκείνου, μὴ φοβεῖσθαι τοὺς ἀποκτιννύντας τὸ σῶμα, τὴν δὲ ψυχὴν οὐκ ἔχοντας ποιῆσαι κακῶς.

Δημήτριος μὲν οὖν οὕτω ταῦτα· καὶ πόλλ’ ἕτερα τοιαῦτα συνεῖρε· καὶ ἅμα τοῦ Χριστοῦ συμμαχοῦντος, καὶ ὑπερφυῶν ἔργων αὐτουργὸς ἦν· Ἑλλὰς δὲ, ἐλύετο τῆς τῶν θεῶν τυραννίδος· καὶ τὸν ἀληθῆ Θεὸν ἀνέγνω· καὶ τὸ φῶς ἑώρα τῆς ἀληθείας· καὶ ὁ μέγας αὐτοῖς, πατὴρ ἐγίνετο τῆς υἱοθεσίας· καὶ πάντα ἦν αὐτοῖς ἐν ῥαστώνῃ τοῦ Χριστοῦ παρελθόντος· οὕτω δὲ καὶ λέγων καὶ πράττων, κοινή τις ἦν τῷ γένει βοήθεια. Ἐπεὶ γὰρ τὴν τοῦ Σωτῆρος λῆξιν ἑώρα, κινδυνεύουσαν καθάπαξ ἀπολωλέναι, τῷ πόρρω γενέσθαι τῶν ἐκείνου καλῶν, ἐπανήγαγεν αὖθις, καὶ δέδωκεν αὐτοῖς ὡς εἰπεῖν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, ὡς ἂν καὶ αὐτὸς σπείσασθαι τοὺς ἀνθρώπους πρὸς τὸν Θεὸν κατὰ τὸν Σωτῆρα παρασκευάσας, σωτὴρ καὶ αὐτὸς ἀνθρώπων ἀκούειν ἔχῃ, καὶ ὃν ἀμέλει πᾶσιν ἐμιμεῖτο τοῖς ἄλλοις, καὶ τοῦτο τὸ μέρος μετ’ ἐκείνου γένηται. Οἶμαι γὰρ, εἰ μετὰ τὴν θαυμαστὴν ἐκείνην εἰς ἀνθρώπους εὐεργεσίαν, τὸν ἐν σαρκὶ Θεὸν, καὶ τοὺς μετὰ τὸν Δεσπότην τῶν ἀνθρώπων σωτῆρας, ἑτέραν τινὰ φιλοτιμίαν Θεοῦ πρὸς ἀνθρώπους γεγενῆσθαι ξυνέβη, τὴν οἰκουμένην αὖθις εὖ ποιεῖν βουλομένου, μὴ ἂν ἑτέραν ταύτην, ἢ τὴν Δημητρίου ψυχὴν γενέσθαι. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Πρὸς δὲ τὰ ἑξῆς, θαυμαστῆς γε δεῖ μούσης, καὶ γλώττης ἄμεινον ᾄδειν ἐπισταμένης· οὕτω γὰρ ἂν τὸν ἀγῶνα κατὰ πᾶν τὸ εἰκὸς ἀπαντῆσαι, τῶν λόγων, ἑπομένων τῇ τῶν πραγμάτων δυνάμει· Δημητρίου δ’ ἂν εἴη καὶ τοῦτο. Ἐπεὶ γὰρ ἐκ τοῦ Θεοῦ τοῖς ἀνθρώποις γεγονὼς ἐπ’ εὐδαιμονίᾳ τοῦ γένους, αὐτὸς μὲν ὅσον ἔνεστιν ἐξ ἀνθρώπων εἰς Θεὸν ἀγαθὸν γενέσθαι μετὰ πολλοῦ τοῦ περιόντος εἰσενηνόχει, πρὸς δὲ τὴν τῶν ἀνθρώπων δημαγωγίαν, πᾶσιν ἐχρήσατο τοῖς ἐνοῦσι, καὶ μηδέσιν ἀνθρώπων οὐδεμίαν ὑπερβολὴν, οὐκ εὐσεβείας οὐ φιλανθρωπίας ἀφῆκε, λέγων δὲ τὰ Χριστοῦ καὶ πράττων καὶ πολιτευόμενος, ἔτι περὶ αὐτὸν μανικώτερος ἐγεγόνει, καὶ οὐχ οἷος τ’ ἦν ἔτι ἑαυτὸν κατέχειν, ἀλλὰ τοῖς λογισμοῖς ἑκάστοτε συνὼν οὐκ ἠγάπα, συνηύχετο μὲν ἑαυτῷ τὴν ἀπαλλαγὴν τὴν ἐντεῦθεν, ἐντεῦθεν ἤδη τῶν ἐν οὐρανῷ γεγευμένος· συνηύχετο δὲ, μετὰ λαμπροῦ τοῦ σχήματος αὐτῷ τὴν τελευτὴν ἀπαντῆσαι.

Γίγνεται τοίνυν· καὶ μετὰ λαμπρῶν τῶν τροπαίων Δημήτριος ἦν ἐξ ἀνθρώπων· οὐ μόνον βαρβάροις φόβον ἐνθεὶς, καὶ ταῖς ἐκεῖθεν νίκαις τὴν Ἑλλάδα κοσμήσας, ἀλλὰ καὶ θεοῖς τὴν ἀρχὴν καταλύσας, οὐκ εἰδόσι τοὔνομα, καὶ τῶν πραγμάτων

429–430 τῶν[1] – κακῶς] Luc. 12.4 [...] μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι. || **437–438** δέδωκεν – γενέσθαι] Joh. 1.12 ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἴς τὸ ὄνομα αυτοῦ

---

428 προσκειμένους[1]] προσκειμένου Ioannu **430** ἀποκτιννύντας] ἀποκτενοῦντας Ioannu **433** ἀνέγνω] omnes codd.: ἐνέγνω Ioannu **434** αὐτοῖς[2]] om. P **436** τοῦ Σωτῆρος] MBIV: τοῦ Χριστοῦ P **437** ἐπανήγαγεν] ἐπανῆγεν BP **440** τοῖς ἄλλοις] an τοῖς ὅλοις scribendum? **443** ξυνέβη] συνέβη P **449** ὅσον] MIV: οἷς scr. P: οἷς supra lineam scr. B **450** ἐνοῦσι] ἐνοῦσιν B **451** οὐδὲμίαν] MV: μηδεμίαν IBP **458** φόβον] MIV: νόμον BP

ἀπελάσας ὥσπερ τυράννους, οὐδαμόθεν αὐτοῖς προσῆκον τοῖς ἀνθρώποις ἐπιθεμένους, καὶ τῆς ἐκεῖθεν αἰσχύνης τὴν οἰκουμένην καθάρας, καὶ δείξας ὡς οὐκ ἔσται δαίμοσι τυραννεῖν, ἕως ἂν μετ' ἀνθρώπων ὦσιν αἱ τοῦ Σωτῆρος χάριτες.

Τὸ δ' ὅπως, δῆλον ἐκεῖθεν. Ὁ μὲν οὖν, εὖ ἐποίει τὴν οἰκουμένην, τὸν ἐπιστάντα πόλεμον διαλύων, καὶ οἷς ἐποίει καὶ οἷς ἔλεγεν, ἃ τοὺς μὲν παρόντας ἔλυσε φόβους τῇ περὶ Χριστὸν ἑταιρείᾳ, περὶ δὲ τοῦ μέλλοντος, εὐέλπιδας παρεσκεύασεν εἶναι. Βασιλεὺς δὲ ἑτέρωθεν ἐναντία καὶ βουλευόμενος καὶ πράττων πᾶσιν οἷς εἶχε, κατὰ τῆς εὐσεβείας ἐχώρει· καὶ οὐδὲν ἦν αὐτῷ τῶν ἁπάντων εἰς σπουδὴν ἀξιώτερον χρῆσθαι, οὐ πόλεων ἁλώσεις, οὐ βαρβάρων λάφυρα, οὐ τὸ χειρῶν εἴσω τοὺς πολεμίους γενέσθαι, οὐκ ἄλλο οὐδὲν τῶν τοιούτων, ὅσον, τοὺς περὶ Χριστὸν εὐσεβοῦντας, ἐξ ἀνθρώπων ⟨κακῶς⟩ ποιῆσαι, καὶ πεῖσαι πᾶσαν τὴν οἰκουμένην, νομοθέτῃ τῷ βασιλεῖ πρὸς τὴν θρησκείαν κεχρῆσθαι, καὶ μετ' αὐτοῦ τὴν αὐτῶν ἐξώλειαν ἀγαπῆσαι, τοὺς κάκιστ' ἀπολουμένους εἰσενεγκόντας θεούς· Δημήτριον δὲ πυθόμενος πρὸς παλινῳδίαν ἐξάγοντα, καὶ θεοὺς μὲν ἐκβάλλοντα τῶν πραγμάτων, Χριστὸν δὲ καὶ τὴν περὶ αὐτὸν ἀγαθὴν δόξαν, ταῖς τῶν ἀνθρώπων ἐντιθέντα ψυχαῖς καὶ γνώμαις, καὶ πείθοντα, τοὺς μὲν· πορθμὸν Σικελίας ἡγεῖσθαι, Χριστῷ δὲ μόνῳ προσέχειν τὸν νοῦν, δέον συνησθῆναι Δημητρίῳ, τῆς περὶ τὸ θεῖον ἀγαθῆς ψήφου καὶ τίθεσθαι καὶ αὐτὸν, ὁ δὲ, καὶ πρὸς μόνην τὴν ἀκοὴν δυσχεράνας, δίκας τὲ λαβεῖν ἠπείγετο, καὶ τιμωρήσασθαι τοὺς θεούς· οὐδὲ γὰρ ἀνεκτὸν εἶναι τοῦ βασιλέως ὑπὲρ αὐτῶν πάντα ποιοῦντος, ἄλλόν τινα τῶν ἁπάντων, ἐναντία πολεμεῖν.

Δημήτριος δὲ, οὐδὲν ἧττον εἰς εὐσέβειαν εἶχεν· οὐδὲ μετέγνω τι περὶ τῶν πεπραγμένων· οὐδ' ἠγάπησεν εἰ σώζειν ἕξει τὸ σῶμα, μελλόντων ἔτι τῶν δεινῶν· ἀλλ' ἥσθη τὲ ὠργισμένον ἀκούσας, καὶ τῷ Θεῷ τὴν μεγίστην χάριν ἀνῆψε, τῶν ἐν ταῖς εὐχαῖς αὐτῷ προκεχωρηκότων ἤδη, καὶ ὧν οὐδὲν ἦγε φίλτερον· λογιζόμενος, βασιλέως μὲν τὸ τοιαῦτα παραληρεῖν ἐξηπατημένου, ἑαυτοῦ δὲ, τὸ μηδὲν τῶν ἐκείνου δείσαντα, τῶν περὶ Χριστὸν ἐρώτων, καὶ τοῦ δι' ἐκεῖνον καὶ τὴν τῶν ἀνθρώπων σωτηρίαν τεθνάναι, μηδὲν τῶν ἁπάντων· μὴ τῶν ἐπὶ γῆς, μὴ τῶν κατ' οὐρανῶν ἀγαθῶν, βέλτιον εἶναι νομίζειν. Οὕτω πάντας εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ παρήνεγκεν· ἄμφω πάντων ὁμοίως ἥδιστα κρίνων, καὶ τὸ περιεῖναι καὶ ζῆν, καὶ τὸ δεινὰ παθόντα τεθνάναι, διὰ τὰ Χριστοῦ βέλη καὶ φίλτρα· ὡς μήτε περιεῖναι, μήτε τεθνάναι ἑλέσθαι, εἰ μὴ διὰ Χριστὸν καὶ ζῆν ἐξῇ καὶ ἀποθανεῖν.

Καὶ μὴν ὅπως καὶ συνέμιξε τῷ κρατοῦντι, καὶ λόγων μετέδωκεν εὐσεβείᾳ συνηγορῶν Πνεύματος θείου γεμόντων, πάντας ἐπὶ θαῦμα κινήσας, καὶ βασιλεὺς

---

475 πορθμὸν Σικελίας] cf. Thucyd. *Histor.* (Jones, Powell 4.24.5)[...] ἔστι δὲ ὁ πορθμὸς ἡ μεταξὺ Ῥηγίου θάλασσα και Μεσσήνης, ᾗπερ βραχύτατον Σικελία τῆς ἠπείρου ἀπέχει· καὶ ἔστιν ἡ Χάρυβδις κληθεῖσα τοῦτο, ᾗ Ὀδυσσεὺς λέγεται διαπλεῦσαι; cf. etiam e. g. Liban. *Epistul.* (Foerster 221.1) [...] γέγονε γὰρ αὐτῷ πάντα ἐκεῖνα γαλήνη, τὰ δὲ παρὰ σοῦ πορθμὸς Σικελίας.

---

462 αἱ] omnes codd.: αὐτοῦ Ioannu **470** κακῶς] addidi **471** αὐτῶν] M: αὐτοῦ IVBP **476** ψήφου] δόξης im texto, ψήφου im margine scr. B **484** τὸ[1]] omnes codd.: τὰ Ioannu **486** κατ' οὐρανῶν] omnes codd.: κρατούντων ἂν Ioannu **489** διὰ] om. Ioannu

ἀπαντᾷν οὐκ εἶχε τοῖς λόγοις, οὐκ ἔχων ἀντιστῆναι τῇ δυνάμει καὶ τῷ πνεύματι ᾧ ἐλάλει, οὐ γὰρ ἐν πειθοῖ σοφίας ἀνθρωπίνης ὥς φησι Παῦλος ἐποιεῖτο τοὺς λόγους, γλώσσης ἀγαθῆς ἀξίως διεξιέναι. Εὐξαίμην δ' ἂν ἔγωγε καὶ αὐτὸν ἐνταῦθα παρεῖναι, καὶ τὴν Δημητρίου ψυχὴν, νυνὶ μετὰ τῶν λόγων γενέσθαι· μόνος γὰρ ἂν εἴη τῶν αὐτοῦ πεντάθλων, ἀξιόχρεως ἀθλητὴς.

Ὁ μὲν οὖν βασιλεὺς, οὐ πάνυ τοι προσῆκον εἶναι Δημήτριον ἔφη φρενῶν εὖ ἔχοντα καὶ σοφίας, καὶ ταύτῃ φάσκοντα τῶν ἄλλων κρατεῖν, περὶ τὸ πάντων μέγιστον ἁμαρτάνειν, καὶ τοὺς μὲν μόνους θεοὺς, τοὺς παλαιοὺς· τοὺς πατρῴους· καὶ ἔθη· καὶ νόμους· καὶ πολιτείαν ἀφεῖναι, τὸν δὲ δεινὰ πεπονθότα, τὸν γόητα, νομίζειν Θεὸν· ὃς τῷ γόης εἶναι πάντα ποιήσας, πολλοὺς παρήνεγκε τῶν φρένας ὀλίγων· καὶ πέπεικεν υἱὸν αὐτὸν Θεοῦ προσειπόντας, τὰ δεινότατα πάντων ὑπὲρ τοῦ κατ' αὐτὸν ἀνασχέσθαι· οἱ δὲ διὰ βίου συγγεγονότες αὐτῷ, ὁποῖοί τινες· πένητες· βάναυσοι· καὶ λόγον καὶ ἦθος καὶ τρόπον, δαίμονι πονηρῷ κάτοχοι. Οὐ γὰρ ἂν φαίην σωφρονοῦντας, τοιαῦτα καὶ διανοηθῆναι καὶ πράττειν· οἳ πᾶσαν μὲν ἐπῄεσαν οἰκουμένην, πάντα κινοῦντες, ἐναντία βουλευόμενοι καὶ βασιλεῦσι καὶ τοῖς θεοῖς· νόμους δὲ ἐτίθεσαν αὐτοὶ τοῦ τεθνηκότος, ὑπερορίους δή τινας καὶ ἀήθεις, ἀθάνατον καὶ μετὰ τελευτὴν καὶ Θεὸν πείθοντες εἶναι, τὸν ἀπογεγονότα, τὸν ἀνασταυρωθέντα, τὸν ἠτιμωμένον· καὶ πρὸς τοσοῦτον ἤλασαν κακουργίας, ὥστε τοὺς ταῦτα ἀναπεισθέντας, καὶ στρεβλουμένους· καὶ κατατεινομένους, ἐφῷ τῆς ἀπάτης ἀπαλλαγεῖεν, οὐδὲν μᾶλλον ἑλέσθαι, ἀλλ' ἠπατημένους ἀποθανεῖν· θεῶν δὲ μὴ ἀνασχομένων, ἀπέθνησκον μὲν ἐκεῖνοι κακοὶ κακῶς· τὰ δ' ἐκείνων ἐνίκα, πολλῶν μὲν ἐπιχειρεῖν τοῖς θεοῖς τολμώντων, εὐθὺς δὲ ἀπολλυμένων. Ὁρᾷς δὲ τοὺς μὲν τῶν θεῶν ἑταίρους, καὶ πλούτῳ καὶ δόξῃ πάντων κρατοῦντας, τοὺς δ' ἐκείνοις πειθομένους, ἐν πενίᾳ καὶ δυστυχίᾳ, καὶ τῷ πανταχόθεν ὡς ἀσεβεῖς ἐλαύνεσθαι; Ἀρχῆς δ' εἵνεκα, τίνες πόθ' ἡμῖν ἴσοι καὶ παραπλήσιοι τῶν ἐκ τοῦ παντὸς αἰῶνος ἐνταῦθα γενομένων σχήματος, τῶν θεῶν εὐμενῶν ὄντων· οὐκ ἄνθρωποι μὲν πάντες ὡς θεοὺς δεδοίκασιν, εἴσω δὲ τῶν τῆς ἀρχῆς ἡμῖν ὅρων, καὶ ὁ ἥλιος ἅρμα ἐλαύνει; Τούτων τοίνυν οὕτω κεχωρηκότων, οὐκ αἰσχύνῃ καὶ σαυτὸν καὶ Ἕλληνας, καὶ τὴν Ῥωμαίων ἐλευθερίαν; Οὐ τὰς παρ' ἡμῶν ταυτασὶ πολλὰς καὶ μεγάλας εὐεργεσίας, οὐ τὰς ὑπηργμένας, οὐ τὰς ἐσομένας, ἀλλὰ τὴν ἀγαθὴν ταύτην τύχην ἐάσας τὴν μετὰ τῶν θεῶν, Θεὸν μὲν εἶναι τὸν ἀνασταυρωθέντα, τὸν εἴρωνα, τὸν ἀπατεῶνα, τοὺς δὲ πονηροτάτους τοὺς μηδενὸς ἀξίους ἐκείνους, πατέρας εἶναι φάσκεις τοῖς ἀνθρώποις τῆς σωτηρίας; Τίς δὲ πενίας ἔρως, καὶ τοῦ μετὰ τῶν κακούργων τετάχθαι καὶ δυστυχεῖν· ἐγὼ μὲν οὐχ ὁρῶ».

493–494 ἀπαντᾷν – ἐλάλει] Act. 6.10 καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. || **494** οὐ – Παῦλος] 1 Cor. 2.4 καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως

---

493 ἀπαντᾷν] ἀπαντῶν Ioannu **495** γλώσσης] ante γλώσσης an verba ἀλλ' ὡς ἐκ scribenda? **496** ἂν] om. I **497** ἀθλητὴς] om. P **503** αὐτὸν[1]] verbum αὐτὸν post Θεοῦ transp. IVBP **507** ἐτίθεσαν] ἐτίθησαν Ioannu **513** κακοὶ] om. BP **520** καὶ[1]] MVBP: om. I **521** ἐσομένας] omnes codd.: ἑπομένας Ioannu **522** τῶν] om. PBV

Δημήτριος δὲ, στόμα καὶ σοφίαν, ἣν τοῖς ἀθληταῖς τῶν αὐτοῦ νόμων ἐπηγγείλατο δώσειν ὁ Δεσπότης, καὶ αὐτὸς ἐπαγγείλας, καὶ πάνυ τυχὼν, «Οὐ θαῦμα» φησὶν «ὦ βασιλεῦ, συνέσει θαυμαστῇ κεχρημένον ᾗπερ αὐτὸς ἔφησθα, τὰ πάντων βέλτιστα περὶ ἐμαυτοῦ καὶ βεβουλεῦσθαι καὶ πρᾶξαι· τοὐναντίον μὲν οὖν ἅπαν. Εἰ μὲν γὰρ συνέσει νικῶμεν, καὶ τὰ βέλτιστα πάντων εἱλόμεθα· εἰ δ᾽ οὐ τὰ βέλτιστα πάντων εἱλόμεθα, σχολῇ γε φρενῶν ἔχομεν καλῶς· θεοὺς δὲ, πατρῴους μὲν εἴποιμ᾽ ἂν· ἀγαθοὺς δὲ, καὶ θεοὺς οὐδὲν μᾶλλον γε διατοῦτο. Οὐδὲ γὰρ εἰ πατρὸς ἔτυχον τυραννίδα γε ἐπαινοῦντος, δίκαιος ἂν ἦν, ἢ τυραννεῖν αὐτὸς, ἢ τυραννοῦντι κεχρῆσθαι· τοὐναντίον μὲν οὖν, καὶ τὸν πατέρα ἀδικοῦντα, δυσχεραίνειν ἐχρῆν. Εἰ δὲ καὶ παλαιοὶ τοῖς Ἕλλησι, πρῶτον ἐκεῖνο βέλτιστε προσῆκε σκοπεῖν, εἰ χρὴ προσειπεῖν θεούς· εἶτα καὶ τὸν χρόνον εἰσάγειν οἴεσθαι· εἰ μὲν γὰρ ἀγαθοὶ, ὅτου χάριν μὴ τὰς ψήφους ὑπὲρ αὐτῶν ἐκεῖθεν ἐκφέρεις, ἀλλ᾽ ὁ χρόνος, τὰ τοιαῦτα σύμμαχος; Οὐ γὰρ διατοῦτο καὶ θεοὶ καὶ ἀγαθοὶ προσειρῆσθαι δίκαιοι· φαύλους δέ γε ὄντας, πολλῷ μειζόνως ἐντεῦθεν δυσχεραίνειν προσῆκεν, ἅτε πολὺν ἤδη χρόνον ψευσαμένους τοὔνομα. Καὶ μὴν, καὶ μόνους ἔφησθα τοὺς θεούς· πῶς δὲ μόνοι, πλῆθος ὄντες τοσοῦτον; Πρῶτον μὲν οὖν οὐκ ἀνάγκη παλαιοὺς τουτουσὶ καὶ πατρῴους τοῖς Ἕλλησιν ὄντας, καὶ θεοὺς εἶναι. Ἔπειτα, ἀνθότου καὶ τοὺς θεοὺς ἀφεῖναι λέγεις, τὸν μηδὲ τὴν ἀρχὴν προσελθόντα; Ἐν γὰρ εὐσεβέσι καὶ νόμοις καὶ δόγμασι, καὶ τὸν ἥλιον ἐξ ἀρχῆς εἶδον, καὶ παρὰ πάντα τὸν βίον, μόνον τὸν Χριστὸν τοῦ κατ᾽ ἐμαυτὸν προυστησάμην· οὐ μόνον δὲ· ἀλλὰ καὶ πονηροὺς ὄντας, καὶ ὅπως, αὐτίκα ἐροῦμεν, καὶ διατοῦτο μήτε θεούς, – ὁ γὰρ Θεὸς ἀγαθὸς, – μήτε ὅλως ὑφεστηκότας, – οὐ γὰρ τὸ πονηρὸν ἐν τοῖς οὖσιν, – οὔτε προσελθεῖν τηναρχὴν εἴποιμ᾽ ἂν, οὔτε μὴ προσελθεῖν, οὔτε ἀφεῖναι. Τίνα γὰρ ἄν τις περὶ τοῦ μηκέτ᾽ ὄντος, εἰκότα λόγον ποιοῖτο; Ἄλλωστε βασιλεῦ, πλῆθος ὄντες μυρίον, ἢ τάξιν ἔχουσιν ἐξ ἀνάγκης, ἢ καθάπαξ ἔξω τοῦ τεταγμένου χωροῦσιν. Ἀλλ᾽ εἰ μὲν ἔξω τοῦ τεταγμένου, αὐτόθεν ἡ πονηρία, καὶ οὐδὲν δεῖ προστιθέναι· εἰ δὲ ἐν τάξει· καὶ μετὰ τοῦ γιγνομένου σφίσι τὰ πράγματα, πάντως ὁ τάξας καὶ κεκοσμηκὼς ἔσται· – οὐ γὰρ δὴ σφᾶς αὐτοὺς, αὐτοὺς κεκοσμηκέναι προσῆκεν· – καὶ βελτίων οὗτος τὴν φύσιν, τῶν εὖ παρ᾽ αὐτοῦ πεπονθότων· καὶ πᾶσα ἀνάγκη, τὸν μὲν εἶναι τὸν Θεόν· τοὺς δὲ, ἐλάττους τινὸς ὄντας τὴν φύσιν, μὴ θεοὺς εἶναι. Θεὸς γὰρ, οὗ μεῖζον οὐδέν· καὶ οὕτω πάλιν ἀνάγκη ⟨τούτους⟩ μὴδ᾽ εἶναι καθάπαξ θεούς. Χωρὶς δὲ τούτων, εἰ τὸ μὲν θεῖον ἀνενδεὲς, οὗτοι δὲ τοῦ κοσμοῦντος ἐπιδεεῖς, πῶς οὐ πόρρω δήπου τῆς θείας ἐπωνυμίας; Ὅτι δὲ καὶ πονηροὶ, καὶ πονηρὸν παράδειγμα τῷ βίῳ, τὸ κατ᾽ αὐτοὺς, ποιηταὶ πάντες, οἷς λέγουσι πείθουσι· καὶ πρό γε πάντων, ὁ τοῦ χοροῦ κορυφαῖος, πολέμους καὶ στάσεις καταλέγων θεῶν, καὶ οὐρανὸν ἀνάστατον. Τὸ δὲ γαστρὶ δουλεύειν, καὶ πάθεσιν αἰσχροῖς ὑποκεῖσθαι,

526–527 Δημήτριος – ἐπαγγείλας] Luc. 21.15 ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν.

526 στόμα] ante στόμα verbum καὶ add. Ioannu | αὐτοῦ] αὑτοῦ MV **527** ὁ] omnes codd.: ἃ Ioannu **541** παλαιοὺς] om. BP **548** εἰκότα] MBPV: εἰκότως I **552** κεκοσμηκὼς] κεκοσμηκὼς ex κοσμηκὼς scr. P[pc] | αὐτοὺς] αὑτοὺς BP **553** προσῆκεν] προσῆκε P **555** τούτους] addidi **557** πονηροὶ] omnes codd.: πονηρὸς Ioannu **560** οὐρανὸν] οὐρανὸν ex οὐρανῶν scr. I[pc]

καὶ νῦν μὲν γονεῦσιν ἐπανίστασθαι, καὶ ποιεῖν καὶ λέγειν κακῶς, νῦν δὲ τοὺς γονέας τοῖς υἱέσιν ἐπιβουλεύειν, τίνων, ἢ τουτωνὶ τῶν θεῶν;

Ἔθη δὲ· καὶ νόμοι· καὶ πολιτεῖαι, εἰ μὲν σεμνότερον ἔχουσι τῶν θεῶν, θαυμάζοιμ' ἂν· εἰ δὲ τοῦτο μὲν οὐκ ἂν· οὐδ' ἔχει τις ἂν εἰπεῖν, ἀλλὰ τὰ μὲν παραδείγματα ἐκεῖθεν αὐτοῖς, ὁποῖα δὴ τὰ τοιαῦτα νομίζειν προσῆκον, τῶν τιθέντων, οὕτω φαυλότατα ἐχόντων. Πρὸς τοιούτους ὦ βασιλεῦ τοὺς θεοὺς· τοὺς παλαιοὺς· τοὺς πατρῴους· καὶ ἔθη· καὶ νόμους· καὶ πολιτείαν· ἀηδῶς ἔχων, οὐκ ἀδικῶ· Χριστῷ δὲ τῷ κυρίως μόνῳ Θεῷ, ὃν ἔγωγε προσκυνῶν, πάντων ἀνθρώπων εὐδαιμονέστατον ἐμαυτὸν ἡγοῦμαι, εἰπάτω τίς παρελθὼν, ἢ σὺ βασιλεῦ, εἴ τι φαῦλον σύνοισθα; Σταυρὸν ἐρεῖς οἶμαι καὶ τὸ τεθνάναι; Ἀλλὰ μάλιστα μὲν, οὐδὲν πρὸς τὸν λόγον. Οὐ γὰρ πονηρευόμενος καὶ κακουργῶν ἐτεθνήκει, ἵνα φαῦλος ἀκούσῃ. «Τί γὰρ παρατοῦτο φαύλος ἐγὼ» Σωκράτης ὁ σὸς ἑταῖρος φησὶν, «ἐὰν ὁ δεῖνα ἐπὶ κόρρης ἀδίκως πατάξῃ με;» Ἔπειτα, μὴ τοῦτο σκόπει μόνον, ὡς ἀνεσταύρωται· καὶ τεθνήκει· ἀλλ' ὅτι καὶ ἑκὼν, καὶ ἵνα τὴν ἁμαρτίαν ἀνασταυρώσῃ· καὶ ὡς οἷς μὲν ἄνθρωπος ἦν, τὰ δεινὰ ἐπεπόνθει· οἷς δὲ θεὸς, – ἄμφω γὰρ ἦν, – ἀπαθὴς κακῶν ἔμεινε· καὶ τεθνηκὼς, ἀνεβίω. Σὺ δὲ, ἃ μὲν βούλει παράγεις· καὶ σταυρὸν, ἄνω καὶ κάτω καὶ τὸ τεθνάναι προφέρεις· τὸ δ' ἀνθότου· καὶ μέχρι τίνος μετὰ τῶν ἀπογεγονότων ἐγεγόνει, παρῆκας. Ἔπειτα, εἰ καὶ τουτονὶ τὸν θάνατον εἰς μέσον ἀγάγοις, οὐκ οἶδα πῶς ἂν ἑτέρως ὑπὲρ ἡμῶν ἐχρήσω τῇ γλώττῃ. Οὕτω πολλῶν καὶ μεγάλων ἀγαθῶν αἴτιος τοῖς ἀνθρώποις οὗτος κατέστη, καὶ τοσούτων ἠξίωσε τῶν χαρίτων.

Ἐντεῦθεν γὰρ, πᾶσα μὲν πόλις, πάντα δὲ ἔθνη, φιλοσοφίας τεχνῖται· καὶ ὃ οἱ περὶ Πλάτωνα καὶ Σωκράτην, πάντα καὶ λέγοντες καὶ ποιοῦντες πείθειν οὐκ εἶχον, τὸ, τῶν παρόντων, ὡς μηκέτ' ὄντων μηδένα λόγον ποιεῖσθαι, καὶ σώματος καὶ τοῦ κατὰ σῶμα περιόντος καταφρονεῖν, τοῦτ' ἐκεῖνος ἐπὶ τῶν δεινῶν κατωρθώκει· μᾶλλον δὲ τὸ μεῖζον, καὶ διὰ τουτωνὶ τῶν δεινῶν· ὃ καὶ τῆς θείας καὶ ὑπερφυοῦς· καὶ μείζονος ἢ κατ' ἀνθρώπους ἰσχύος ἐκείνου, τεκμήριον ἐναργὲς. Τῶν γὰρ ἀνθρώπων περιόντων, καὶ καλῶς πραττόντων νικώντων, αὐτὸς δεινὰ πάσχων καὶ θνήσκων, τὰς τῶν ἀνθρώπων παρεστήσατο γνώμας· καὶ τὸ μέγιστον ἁπάντων, οὕτως ἔπεισε φιλοσοφεῖν, καὶ τοιαύτην ὑπὲρ αὐτοῦ γνώμην τοὺς ἀνθρώπους παρεσκεύασεν ἔχειν, ὥστε ⟨τοὺς⟩ υἱὸν Θεοῦ προσειπόντας, οὕτω πρὸς ὕβριν ἀποθανόντα, τὰ δεινότατα πάντων ὑπὲρ τοῦ κατ' αὐτὸν ἀνασχέσθαι· καὶ τῶν σωμάτων αὐτοῖς κατακοπτομένων, καὶ μελῶν περιαιρουμένων, τὴν ψυχὴν ἀκίνητον εἶχον, ὥσπερ ἑτέρων ταῦτα πασχόντων. Οὕτως ὑπερφυῶς τοῖς ὅλοις ὁ Χριστὸς εἶχε, καὶ τὸν Θεὸν ἔδειξε, κἂν αὐτῷ τῷ τεθνάναι· ὥσθ' ὅσον τὸν σταυρὸν καὶ τὸν θάνατον, καὶ τὸ δεινὰ πεπονθέναι προάγεις, τοσοῦτον κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς, τὸν Χριστὸν ὑπερφυᾶ ἀποφαίνων, καὶ σαυτῷ

571–572 φαύλος – με] Ael. Arist. *Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων* (Dindorf 225.1–2) [...] τοῦ τί δε χείρων ἐγὼ, ἂν ὁ δεῖνα ἐπὶ κόρρης ἀδίκως πατάξῃ με;

---

561 γονεῦσιν] M: om. IVBP **564** μὲν^2] om. I **567** καὶ πολιτείαν] in margine add. P | τῷ] post τῷ verbum μόνῳ scr. I | κυρίως] Κυρίῳ scr. Ioannu **572** ἐὰν] ἂν I **580** τοσούτων] an τοσοῦτον scribendum? **589** τοὺς^2] addidi **593** κἂν] M: κάν IVBP

περιπίπτων. Τὸ δὲ νῦν μὲν νεκροὺς ἀνιστάναι· νῦν δὲ τυφλοὺς βλέποντας εἶναι παρασκευάζειν, καὶ τοῦτο μὲν, ἀπαλλάττειν μανίας, τοῦτο δὲ, δυσχεροῦς παντὸς ὁτουοῦν, καὶ θάλασσαν καὶ ἀνέμους πρὸς τὴν ἑαυτοῦ γνώμην μετάγειν, καὶ πάντα νεύματι μόνῳ κινεῖν, καὶ μετὰτιθέναι πράγματα, ταῦτα δὲ, πῶς οὐ Θεὸν αὐτὸν ἀτεχνῶς ἀποδείκνυσι, καὶ τεθνηκότα μὲν, ἀλλ' ἑκόντα· καὶ αὖθις, ἀθάνατον ὄντα; Ὁ γὰρ πολλοῖς ἑτέροις τοῦ περιεῖναι καὶ ζῆν αἴτιος γενόμενος, σχολῇ γ' ἂν ἑαυτὸν, οὐκ ὀνήσειν ἔμελλε τὰ τοιαῦτα.

Ταύτα δὲ καὶ Ἑλλήνων καὶ βαρβάρων βοώντων ἔστιν ἀκούειν. Καὶ σοὶ βασιλεῦ, πλήρης μὲν ἀκοὴ τῶν τοιούτων· πολλῶν δὲ καὶ αὐτὸς θεατὴς κατέστης, ἐπὶ τῶν ὑπὲρ Χριστοῦ διαύλων τῶν ἀθλητῶν ἐπιδεικνυμένων. Ἐπεὶ δὲ κατὰ Χριστοῦ καὶ γοητείας ἐμνήσθης, προσῆκε μὲν ἀπὸ τῶν ἐκείνου τρόπων, τὰς περὶ αὐτοῦ ψήφους ποιεῖσθαι, καὶ μὴ μάτην οὑτωσὶ διαβάλλειν. Φέρε δὴ, πόθεν, περὶ τοῦ Χριστοῦ μαγγανείας δόξαν εἰλήφεις; Ἀπὸ τῶν ἠθῶν; Ἀλλὰ τούτων εἵνεκα, πάντα μᾶλλον, ἢ γόης. Τὸ γὰρ οὕτω μὲν σωφροσύνῃ προσέχειν, ὡς μηδ' ἁπλῶς οὑτωσὶ πρὸς ἀκολασίαν ὁρᾶν, δικαιοσύνῃ δὲ τοσοῦτον κεχρῆσθαι, ὡς μὴ μόνον μηδένα ἀδικεῖν, ἀλλὰ καὶ ἀδικούμενον πάνυ μεγαλοψύχως ἔχειν προστεταχέναι, οὕτω δὲ πενίαν εἰσάγειν, καὶ τὸ μὴ δόξης ἡττᾶσθαι, ὡς μόνους τοὺς τοιούτους τῶν θείων πραγμάτων, ἀξιόχρεως εἶναι ψηφίσασθαι, ταῦτα τοίνυν, ὅπως γόητι προσῆκε, συνιδεῖν οὐκ ἔχω. Τί δὲ ταῖς μαγγανείαις ἐχρήσατ' ἂν· χρημάτων εἵνεκα; Ἀλλὰ πενίαν καὶ λόγοις καὶ ἔργοις ἐνομοθέτει· καὶ πάντες ἴσασιν. Ἀλλὰ πρὸς δόξαν ἑώρα; Ἀλλὰ τὸ μὴ δόξης ἡττᾶσθαι, πολλοῦ τινος ἦγεν, ὃς καὶ τὸν σταυρὸν καὶ τὴν ἀτιμίαν, δόξαν ἑαυτοῦ προσειρήκει· γοήτων γὰρ· ἂν δόξαν καὶ τρυφὴν περιέλῃς, οὐδενὸς ἀξία σφίσιν ἡ τέχνη δοκεῖ. Πῶς δὲ ἀπατεὼν καὶ εἴρων δίκαιος ἐκεῖνος ἀκούειν, οὐδὲν πρὸς ἡδονὴν οὐδενὶ τῶν ἀνθρώπων, οὐ τῶν πενήτων, οὐ τῶν τῆς ἑτέρας μερίδος, οὐ λέγων, οὐ πράττων, ἀήθεις δὲ πάνυ καὶ δυσχερεῖς νόμους εἰς τὸν βίον εἰσάγων, καὶ νῦν μὲν σώματος καταφρονεῖν, νῦν δὲ ἡδονὰς φεύγειν, νῦν δὲ ἀδοξίαν καὶ τὸ τεθνάναι διώκειν, οὐκ ἂν· εἴ γε παράγειν ἐγνώκει; Τοὺς γὰρ ἀπατᾶν ᾐρημένους, ὡς τῶν ἡδίστων ἀνάγκη μεμνῆσθαι, καὶ ἃ πρὸς ῥᾳστώνην φέρει, τίς οὐκ οἶδε τῶν πάντων; Οὕτως οὐκ ἔχει λόγον, τὸ τοιαῦτα τοῦ Χριστοῦ κατηγορεῖν· ὅς γε τοσοῦτον ἀπεῖχε, τοῦ πρὸς ἀπάτην ἢ πρὸς ἡδονὴν τοῖς ἀνθρώποις κεχρῆσθαι, ὥστε καὶ τοῖς ἀνασταυροῦσι, καὶ τὰ πάντων δεινότατα κατὰ τῆς αὐτοῦ τετολμηκόσι κεφαλῆς, τὰ πάντων βέλτιστα, καὶ συνεβούλευε καὶ συνηύχετο· καὶ ταῦτα ἐν αὐτῷ τῷ σταυρῷ. Ποῦ τοίνυν ἔγνως, ἢ τοιούτους γόητας ὄντας οἷος ἐκεῖνος, ἢ Χριστὸν, οἷα γόησι προσῆκεν, ἢ εἰπόντα πώποτε, ἢ πεποιηκότα; Πολλοῦ μὲν τ' ἂν ἦν γοητεία καὶ ἀπάτη καὶ εἰρωνεία, εἰ τὸν Χριστὸν ἐντεῦθεν ἐνῆν προσειπεῖν.

«Ἐπεὶ δὲ καὶ {ἀπὸ} τῶν ὡμιληκότων τοῦ διδασκάλου κατεψηφίσω, πένητας εἰπὼν, καὶ μηδὲν εἰδέναι, ἐντεῦθεν οἶμαι δεῖν καὶ αὐτὸς τοὺς ὑπὲρ αὐτοῦ ποιήσασθαι λόγους. Τοῦτο γὰρ τὸ μέγιστον καὶ ὑπερφυὲς, ὅτι μηδενὸς ὄντες ἄξιοι καὶ τύχης εἵνεκα καὶ σοφίας, τοὺς ἀήθεις καὶ ὑπερορίους νόμους ἐκείνους, πάντας ἔπεισαν

606 γοητείας] γοητεία Ioannu | ἐμνήσθης] συνήθης Ioannu **608** εἰλήφεις] ἀλήφεις Ioannu **616** σταυρὸν] post σταυρὸν verbum ἑαυτοῦ scr. et eras. I **631** ἀπὸ] seclusi

ἀνθρώπους ἑλέσθαι, καὶ πᾶσαν ἴσχυσαν ὥσπερ ὑπόπτεροι τὴν οἰκουμένην περιελθεῖν· καὶ ἡττᾶτο τῆς τῶν βαρβάρων ἐκείνων γλώττης, καὶ βασιλέων δύναμις καὶ θεῶν· καὶ οὐδεὶς ἀντειπεῖν ἐτόλμα τῶν πάντων. Ἐπεὶ τοίνυν ταυτησὶ τῆς πειθοῦς, οὐκ ἔστιν οὐδὲν οὐδ' ὁτιοῦν τῶν ἐν ἀνθρώποις αἰτιᾶσθαι πραγμάτων, οὐ δόξαν· οὐ σοφίαν· οὐ πλοῦτον· οὐ τὸ φρενῶν εὖ ἔχειν, καὶ μὴν οὐδὲ τὸ τὰ ἥδιστα νομοθετεῖν, οὐ τὸ ἐπαγωγὸν εἶναι τὸ δόγμα, τὸν γὰρ ἀνασταυρωθέντα καὶ τεθνηκότα, Θεὸν εἶναι, καὶ ἀθάνατα ζῆν ἐβόων, οὐ πάνυ τοι δῆλον, ὡς τῆς τοῦ κεκινηκότος δυνάμεως; Τίς δὲ ὁ κινήσας· οὐχ ὁ Χριστός; Τί δὲ· οὐχ ὑπερφυὴς αὕτη σοι δοκεῖ; Καίτοι, εἰ μὲν ὑπερφυέσιν ἔργοις καὶ θαύμασιν ἐπιστοῦντο τοὺς λόγους, ὅθεν αὐτοῖς τὸ τοιαῦτα πράττειν δύνασθαι, δῆλον· καὶ Θεὸς οὗτος ἀνάγκη. Οὐ γὰρ πρὸς ἀνθρώπων τά γε τοιαῦτα. Εἰ δὲ λόγοις ἔπειθον μόνοις, ἔτι πολλῷ μείζω τὴν ὑπερβολὴν ἔχει τὸ θαῦμα· καὶ μεῖζον ἢ κατ' ἀνθρώπους ὄν, δῆλον τίνος ἦν, καὶ ὅτῳ προσῆκεν. Ἀλλὰ γόητες; οἵ γε τοὺς γόητας τῷ Χριστῷ προσιόντας, οὐδὲν μᾶλλον προσίεντο, εἰ μὴ τὸ μὲν γόητες εἶναι, καθάπαξ ἀπόθοιντο, τὰ δὲ βιβλία κατακαύσειεν δημοσίᾳ; ⟨Τοὺς⟩ οὕτω τοίνυν τὰ πάντων μέγιστα καὶ ὑπερφυᾶ καὶ διανοηθέντας καὶ πράξαντας, εἰ μὲν δαίμονι πονηρῷ κατόχους προσείποις, πῶς καὶ ⟨οὕτω⟩ διανοηθέντες ἔπραξαν· ἤ, πολλοῦ γε ἄξιον, τὸ μὴ σωφρονεῖν; Εἰ δ' ἐσωφρόνουν, ὥσπερ οὖν ἐσωφρόνουν, οὐ μάτην ἂν ἑαυτούς, εἰς τὸν ἀγῶνα τὸν θαυμαστὸν ἐκεῖνον καὶ τοὺς κινδύνους καθῆκαν, εἰ μὴ σαφῶς ᾔδεσαν δυνάμενον σώζειν, καὶ Θεὸν ὄντα τὸν ἐπὶ ταῦτα κεκινηκότα. Οὕτως ἔξω λόγου παντὸς, καὶ παρὰ πᾶν τὸ κατ' ἀνθρώπους εἰκὸς, ὁ Χριστὸς νενικήκει. Οὐκοῦν ὦ βασιλεῦ, τῶν ἀνθρώπων ἀπὸ σοφίας, ἢ τοῦ φρενῶν εὖ ἥκειν, ἢ τοῦ χρήμασι περιρρεῖσθαι, ἢ τὸ νικᾶν ἢ τὸ πείθειν ἐχόντων, αὐτός, οἷς οὐκ εἶχεν ἐντεῦθεν, δῆλος ἐγένετο, μεῖζον ἔχων ἢ κατ' ἀνθρώπους.

«Ἔτι τοίνυν, τὰ μὲν τῶν ἀνθρώπων πράγματα, γαλήνης ἀπολαύοντα, καὶ πάντων συναιρουμένων, καὶ ἔστι καὶ αὔξει, καὶ μετὰ τῆς ἀγαθῆς τύχης ἵσταται· ἀπὸ δ' αὖ τῶν ἐναντίων, τἀναντία γίγνεται. Τῶν δὲ τοῦ Χριστοῦ πραγμάτων ἐλαυνομένων, μείζων ἡ δόξα, ὥσπερ ἂν εἰ πάντες συνεμάχουν ἄνθρωποι· καὶ δῆλον, ἐξ ὧν πάντα ποιοῦντες, ἐφ' ᾧ τοὺς τοῦ Χριστοῦ νόμους, καὶ τὴν εἰς αὐτὸν εὐσέβειαν ἐκ μέσου ποιῆσαι, λελήθατε ⟨εἰς⟩ ἑαυτοὺς, πολλοὺς μὲν ἑταίρους τῷ Χριστῷ προστιθέντες, πᾶσαν δ' ὡς εἰπεῖν οἰκουμένην, ἐφ' ὑμᾶς αὐτοὺς, καὶ τουτουσὶ τοὺς θεοὺς κινοῦντες. Οὕτως ὑπὲρ ἀνθρώπους ἐστὶ τῷ Χριστῷ τὰ πράγματα· καὶ πιπτόντων μὲν τῶν θαυμαστῶν τῆς εὐσεβείας ἡμῖν πατέρων· πιπτόντων δὲ τῶν ἑκάστοτε τοὺς ὑπὲρ Χριστοῦ πεντάθλους ἠγωνισμένων, λαμπρὸν ἀφ' ὑμῶν ἵσταται τρόπαιον, πᾶσαν κατασεῖον τὴν οἰκουμένην.

Ἀλλ' ὑμεῖς γε ὦ βέλτιστοι καὶ τὰ τῶν Θεῶν νικᾶτε τῶν ἀπὸ Χριστοῦ καλουμένων ἀπολλυμένων; Οὐκοῦν, εἰ μὲν αὐτὸ τοῦτο καὶ ὑμῖν ἐστι βουλομένοις καὶ τοῖς θεοῖς, σωμάτων περιγενέσθαι, καὶ αἱμάτων γεύσασθαι, τοῦτο δὴ τὸ τῶν ἀνδροφόνων καὶ

640 οὐ] οὐδὲ P **643** τὸ] τὰ Ioannu **645** μόνοις] μόνον Ioannu | τὸ] om. Ioannu **648** ἀπόθοιντο] omnes codd.: ἀπώθοιντο Ioannu | Τοὺς] addidi **650** οὕτω] addidi **651** οὖν] om. P **657** μεῖζον] MVBP: μείζων I **660** δὲ] om. Ioannu **663** εἰς] addidi **666** ἡμῖν] MVBP: ἡμῶν I **666–667** τοὺς – πεντάθλους] τῶν ὑπὲρ Χριστοῦ πεντάθλων PB **669** νικᾶτε] νικᾷ omnes codd.: correxi

τυμβωρύχων καὶ ληστῶν, χαρίεντές γε, τὴν Καδμείαν νίκην νικῶντες. Εἰ δὲ τοῦτο μὲν οὐδαμῶς· ψυχῶν δὲ κρατῆσαι, καὶ παραστήσασθαι γνώμας, καὶ πεῖσαι τοὺς ἀνθρώπους, θεοὺς μὲν ἡγεῖσθαι, Χριστὸν δὲ ἀπελαύνειν, βούλεσθε μὲν, πάντα διὰ ταῦτα καὶ λέγοντες καὶ ποιοῦντες, ἐλέγχεσθε δὲ ἀνήνυτα πονοῦντες, μᾶλλον δὲ τοσοῦτον ἡττώμενοι καὶ καθ' ὑμῶν αὐτῶν εγχειροῦντες, ὅσον ἔγνωτε καθ' ἡμῶν τῶν εὐσεβούντων ἀποθνήσκειν μᾶλλον μετὰ τῆς εὐσεβείας ἢ πεισθέντας περιεῖναι, καὶ ζῆν βουλομένων, πῶς οὐ φανερὸν, ὡς μετὰ τῶν χριστιανῶν ἡ νίκη; Καὶ πρόσεστιν ἐκείνοις μὲν, τὸ ὑπερφυῶς περιεῖναι, μετὰ γὰρ πληγῶν καὶ θανάτου, ὑμῖν δὲ, τὸ μετ' αἰσχύνης ἡττᾶσθαι, μετὰ πλούτου παρατεταγμένοις καὶ δόξης, καὶ τοῦ δεδωκότος τῆς ἀρχῆς· ἣν ὅσο γ' ἂν μείζονα δείξαις, τὴν αἰσχύνην ηὔξησας. Οὕτω καὶ ἐξ ὧν πράττων νικᾶν ᾤου, τὴν ἧτταν ἔδειξας· καὶ οἷς καθ' ἡμῶν ἐπεχείρησας λόγοις, κατὰ σαυτοῦ φανερῶς ἐχρήσω· ὥσπερ ἂν εἰ πῦρ σβεννύειν ἐθέλων, πίτταν ἐπέθηκας φέρων· ὡς ἂν ὑμεῖς μὲν καὶ λόγοις καὶ ἔργοις κατὰ Χριστοῦ χωρεῖν ἐγνωκότες, καὶ ἄκοντες εἶναι τἀναντία πράττοιτε συμμαχοῦντες, ἡ δὲ τοῦ Χριστοῦ θεότης ὑπερφυὴς οὖσα πᾶσιν ἀναφανείη, διὰ τῶν ἐναντίων νικῶσα. Οὐ γὰρ δὴ γεωμέτρην μὲν ὅτι γεωμετρεῖν οἷος τε ἐγένετο προσεροῦμεν, καὶ ἀριθμητικός γε, ἀπὸ τῆς περὶ τὸν ἀριθμὸν ἐπιστήμης, Χριστὸς δ' ὑπερφυὴς καὶ Θεὸς οὐκ ἂν εἴη, ἐκεῖνα καὶ λέγων καὶ πράττων καὶ πείθων καὶ δυνάμενος, ἃ τοῦ μὲν πεφυκότος ἔξω, Θεῷ δὲ μόνῳ προσῆκε· καὶ τίν' ἔχει τοῦτο λόγον;»

Βουλόμενον δὲ Δημήτριον καὶ τἄλλα προσθεῖναι· ὁ βασιλεὺς οὐκ ἐάσας, οὐ γὰρ ἠνείχετο τῶν ἐλέγχων· «Ἅλις μὲν» ἔφη «τῶν σοφισμάτων Δημήτριε, καὶ οὐδὲν δεῖ προστιθέναι· σὺ δὲ καὶ τὰς συμφορὰς συνιδὼν καὶ τοὺς πόνους, ἃ τοῖς περὶ Χριστὸν εὐσεβοῦσιν ἐξ ἀνάγκης ἕπεται, ὅπως, καὶ σαυτὸν καὶ τοὺς Ἕλληνας εὖ ποιήσῃς, σαυτὸν μὲν τῶν δυσχερῶν ἀπαλλάξας, τοῖς Ἕλλησι δὲ τὰ λυσιτελῆ δράσῃς, σαυτὸν ἀποδοὺς.»

Δημήτριος δὲ, «καὶ πάνυ» φησὶν «ὦ βασιλεῦ, ᾔδειν τὸν ὑπὲρ εὐσεβείας ἀγῶνα, μετὰ τῶν ἐσχάτων ὄντα κινδύνων· ἀλλὰ τοσοῦτον ἀπέσχον τοῦ φοβηθῆναι, ὥστε καὶ σηνηυχόμην, θᾶττον ἐμαυτῷ τουτονὶ γενέσθαι· καὶ ἡδέως ἂν ἐκείνην τὴν ἡμέραν ἴδοιμι, ἐν ᾗ σῶμα μὲν κατατεινόμενον θεάσομαι, στρεβλούμενον, τὰ δεινότατα πάσχον διὰ Χριστὸν, αἷμα δὲ καταρρέον, μέλη δὲ τεμνόμενα. Οὐκοῦν κομιδῇ γελοῖον, εἰ ἅπερ ὅπως ἔσται δι' εὐχῆς ἐποιούμην, τούτοις ἤδη παροῦσι, δυσχερανῶ· ὥσπερ ἂν εἰ νίκην ἀπὸ τῶν πολεμίων εὐξάμενος, ἔπειτα τυχὼν, ἠνιώμην; Εἰ δὲ καὶ τῷ Θεῷ προσήκειν, πέρας εὐδαιμονίας, Θεὸς δὲ ὁ ἐμὸς ἀνεσταύρωται, πόσου τινὸς αὐτὸς ἄξιος ἂν γενοίμην, δεινὰ παθὼν ὑπὲρ ἐκείνου καὶ τεθνηκὼς; Παρὰ πάντα δὲ ταῦτα, πῶς οὐ δεινῶς ἄγνωμον, αὐτὸν μὲν ὑπὲρ τῆς ἐμῆς σωτηρίας ὑβρισμένον καὶ τεθνηκότα, δόξαν ἑαυτοῦ τὸ πρᾶγμα καλεῖν, ἐμὲ δὲ, μὴ γοῦν τοῖς ἴσοις πρὸς ἐκεῖνον χρήσασθαι, ἀλλὰ φανῆναι περὶ τὸν εὖ πεποιηκότα κακὸν; Εἶεν».

---

672 τυμβωρύχων] τοιχωρύχων P **675** ταῦτα] omnes codd.: τοῦτο Ioannu **681** ὅσο] ὅσῳ Ioannu **684** κατὰ] μετὰ Ioannu **685** τοῦ] om. Ioannu **686** διὰ] an διὰ delendum? **692** μὲν] verbum μὲν supra lineam scr. I **693** σὺ δὲ] οὐδὲ Ioannu **695** τοῖς] om. P | δράσῃς] IBP: δράσεις M: δράσῃς ex δράσεις scr. V^{pc}

Δημήτριον μὲν οὖν οὕτως ἠγωνισμένον Μαξιμιανὸς δυσχεράνας, δεσμωτηρίῳ καθεῖρξε. Νήπιος. Οὐ γὰρ ἐκεῖνο συνῆκεν, ὡς ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Θεὸς δὲ, μειζόνων ⟨αὐτὸν⟩ ἠξίου, καὶ τῆς περὶ αὐτὸν σπουδῆς ἀμειβόμενος, καὶ τοῦ φίλτρου, καὶ τῶν θαυμαστῶν ἐκείνων ἀγώνων· καὶ πρὶν ἐντεῦθεν ἀπᾶραι, τῶν ἑαυτοῦ μετεδίδου· καὶ ἦν ἰδεῖν θαυμαστὸν δεσμώτην, τῷ δεδέσθαι χαίροντα. Οὕτω δαψιλοῦς ἀπήλαυσε τῆς θείας ἀκτῖνος, καὶ τῆς πάντα νοῦν νικώσης εἰρήνης· ἐπεὶ καὶ καρπὸν τοῦ Πνεύματος εἶναι, χαρὰν καὶ εἰρήνην ἐδόκει Παύλῳ. Δημητρίῳ δὲ παρ᾽ ὀντινοῦν ὧν ἴσμεν, τῶν τοῦ Πνεύματος μετῆν ἀγαθῶν· οὕτω γὰρ συγχαίροντι μὲν ἑαυτῷ τῶν ὑπὲρ Χριστοῦ δυσχερῶν, τῶν τε παρόντων, τῶν τε προσδοκωμένων, ὁ κοινὸς τοῦ γένους ἐχθρὸς βασκήνας, εἰ τὸν ἀγῶνα νικήσει τὸν ὑπὲρ Χριστοῦ, καὶ πειρώμενος διαταῦτα πρὸ τῶν ἄθλων ἀνελεῖν, σκορπίον ἐπάγει· καὶ ὁ μὲν, εὐθὺς ἐτεθνήκει, Δημητρίου τὸν Χριστὸν ἐπ᾽ αὐτὸν κινήσαντος. Ἄγγελος δὲ θεόθεν εἰς αὐτὸν ἀφικνεῖται, τοῦτο μὲν στεφάνους αὐτῷ κομίζων, καὶ τὴν ἀγαθὴν εἰρήνην· τοῦτο δὲ, καὶ πρὸς τοὺς ἔπειτ᾽ ἄθλους ἀλείφων, σπεύδοντα καὶ αὐτόν.

Τῷ μὲν οὖν τοῦ γένους τυράννῳ, βασκήναντι Δημητρίῳ τῆς νίκης καὶ τῶν στεφάνων, πᾶσιν οἷς ἐξῆν αὐτῷ, τὸν θάνατον ἐπισπεύδειν ἐπῄει· νομίζοντι τὸν ἀθλητὴν, οὕτως ἂν περὶ τὰ γέρα ζημιωθῆναι. Ὁ δὲ Θεὸς, εἰς τοὺς μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν ἀντικαταστάντας Δημήτριον τάττων, καὶ μήπω δι᾽ ἐκεῖνον ἀποθανόντα, οἷς ἐποίησεν ἔδειξε τοὺς στεφάνους ἀποδοὺς· ὥστε καὶ πρὸ τῆς μακαρίας ἐκείνης πληγῆς, Δημήτριον τῶν ἑταιροτάτων εἶναι τῷ Θεῷ καὶ φιλτάτων. Καὶ καινὸν οὐδὲν· ὅς γε μὴ μόνον αὐτὸς οὕτως ὅλον αὑτὸν ἀνῆκε Θεῷ, ἀλλὰ καὶ τοῖς ἄλλοις, οἷός τε ἐγένετο τὰ τοιαῦτα σύμμαχος εἶναι, καὶ μάρτυς μὲν αὐτὸς εἶναι, μάρτυρας δὲ παρασκευάζειν δύνασθαι. Καὶ ὡς ἀληθῆ λέγω, δῆλον ἐκεῖθεν. Νέστορι γὰρ προσελθόντι, καὶ συνεύξασθαι δεομένῳ, κατ᾽ ἐλπίδας αὐτῷ τὸν ἀγῶνα τὸν κατὰ Λυαίου γενέσθαι, ὡς μόνην ταύτην ἐσομένην ἐπικουρίαν αὐτῷ, ὁ δὲ, τήν τε ἐκεῖθεν νίκην φιλανθρώπως ἄγαν ἐδίδου, καὶ τὴν μαρτυρικὴν προσετίθει· πάνυ μεγαλοψύχως οὐ δεηθέντι παρασχών. Καὶ τὸ μέγιστον ἁπάντων, οὐ ταῖς εὐχαῖς συμμαχήσας· οὐδὲ πολὺν ὑπὲρ αὐτοῦ πρὸς τὸν θεὸν ποιησάμενος λόγον· οὐδὲ πολλὰ εἰπὼν καὶ δακρύσας· ἀλλ᾽ ἅμα τὲ δεηθέντος ἀκούσας, καὶ ὥσπέρ τι ψήφισμα γράφων, τήν τε χεῖρα ἐδίδου, καὶ νικᾶν ἐποίησεν ἀμφοτέρους τοὺς ἀγῶνας, τόν τε κατὰ Λυαίου, καὶ τοῦ κοινοῦ τοῦ γένους ἐχθροῦ. Καὶ ὥσπερ ἐπὶ τοῦ πάντων Θεοῦ γινόμενον ὦπται· μόνῃ τῇ βουλήσει πάντα ποιοῦντος, καὶ οὔτε θεόθεν ἐπαγγέλοντος οὐδὲν οὐδενὶ, οὔτε πολλοῦ δεομένου χρόνου, πρὸς τὸ τὰς ὑπερφυεῖς ἐκείνας εἰς τὸ γένος εὐεργεσίας περαίνειν, ὡς δὲ· καὶ αὐτὸς ὥσπερ ἐξουσίαν ἅπαξ παρὰ τοῦ Σωτῆρος εἰληφὼς τὰ

---

710 ὁ – δέδεται] 2 Tim. 2.9 ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος· ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται || **714–715** ἐπεὶ – Παύλῳ] Gal. 5.22 ὁ δὲ καρπὸς τοῦ Πνεύματος ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις [...]

---

711 αὐτὸν[1]] addidi **718** ἀγῶνα] post ἀγῶνα verbum ṭọ ras. I **721** καὶ[2]] om. P **725** γέρα] πέρα I **729** αὑτὸν] αὐτὸν Ioannu **737** δεηθέντος] omnes codd.: δεηθέντα Ioannu **741–742** εἰς – περαίνειν] εὐεργεσίας εἰς τὸ γένος περαίνειν, supra εὐεργεσίας litteram β, supra εἰς litteram α, supra γένος litteram α, supra περαίνειν litteram γ superscripsit M

τοιαῦτα, οὕτως ἅμα τε ἔλεγε, καὶ Θεὸν συμψηφιζόμενον εἶχεν· ὅπερ, δυοῖν τοῖν μεγίστοιν τεκμήριον ἐναργὲς, καὶ τοῦ τὸν Δημήτριον ἅπαξ ἓν πνεῦμα μετὰ τοῦ Σωτῆρος γενέσθαι, καὶ μὴ δεῖσθαι καὶ αὖθις διὰ τῶν εὐχῶν πρὸς αὐτὸν ἐπεστράφθαι, τοῦ τε τὸν Νέστορα ἀγαθὸν ὄντα μάλα ἢ πρόσθεν, καὶ τότε δικαίως ἃ ἥττηκεν ἐπαγγεῖλαι. Τοσαύτη τις ἦν τῷ μεγάλῳ πρὸς τὸν Χριστὸν οἰκειότης· καὶ οὕτω σύμμαχος φανεὶς τοῦ Θεοῦ, σύμμαχος ἔπειτα τῶν ἀγαθῶν καὶ τοῖς ἀνθρώποις δι’ ἐκείνου κατέστη· ὑπερβολῇ καθαρότητος οὕτω συγγινόμενος τῷ Θεῷ, ὥσπερ εἴ τις φίλῳ συμμίξαι, παντὸς Μωσέως ἄμεινον· ἐπεὶ καὶ φίλος Χριστοῦ δίκαιος ἀκούειν ἐκεῖνος, ἅπερ αὐτὸς προσέταξε καταπράξας, κατὰ τὰς ψήφους τοῦ Θεοῦ. Εἶεν. Ἐπεί δ’ οὐ μόνον οὐδ’ ἐν ταῖς συμφοραῖς Δημήτριος, τῶν περὶ Χριστὸν ἐρώτων εἰς λήθην ἧκεν, ἀλλὰ καὶ πολλῷ μείζων καὶ κρείττων ἑαυτοῦ τὰ τοιαῦτα, καὶ μανικώτερος ἦν, τοῦτο μὲν ἀπὸ τῶν παρόντων αὐτῷ δυσχερῶν τῶν τοῦ Χριστοῦ μεμνημένος ὢν δι’ αὐτὸν ἠνείχετο, τοῦτο δὲ πολλῷ θαυμαστοτέρων ἐντεῦθεν καὶ μειζόνων παρ’ αὐτοῦ τῶν ἀγαθῶν ἀπολαύων, καὶ διατοῦτο, δαίμοσι μὲν φόβον ἐνῆκε· τῆς δὲ τῶν ἀνθρώπων σωτηρίας βελτίων ἐγένετο σπουδαστὴς, καὶ τοῖς τῆς εὐσεβείας ἀθληταῖς συνηγωνίζετο τοὺς ἀγῶνας, καὶ τὴν νίκην προύλεγε καὶ ἐδίδου· κἀν τοῖς δεσμοῖς υἱεῖς τῷ Θεῷ τίκτων κατὰ τὸν Παῦλον.

Ἔδει δὲ αὐτὸν ἤδη καὶ πρὸς ὃν ἐπόθει χωρῆσαι, καὶ τῶν οὐρανῶν ἄξιον ὄντα, μὴ τὴν γῆν οἰκεῖν ἔτι, ἀλλ’ ᾗπερ καὶ πρόσθεν ἔφην, ἐπ’ εὐδαιμονίᾳ τοῦ γένους εἰς ἀνθρώπους ἐληλυθότα, αὖθις ἐπανελθεῖν ἐπὶ τὸν πατέρα, καὶ τῶν τριττῶν ἐκείνων ἀγώνων, τῶν τε ἰδίᾳ ὑπὲρ ἑαυτοῦ, καὶ κοινῇ πάντων ἀνθρώπων, καὶ τῆς περὶ Χριστὸν προθυμίας, πολλαπλασίους κομίσασθαι τοὺς στεφάνους. Ὁ μὲν βασιλεὺς δυσχερῶς ὡς μάλιστα ἔχων, εἰ τῶν θεῶν ὑβριζομένων αὐτὸς ἀγαπητῶς ἕξει, θάνατον κατεψηφίζετο τοῦ μεγάλου, νομίζων εἰ τοῦτον ἐκ μέσου ποιήσει, καλῶς ἕξειν τοῖς θεοῖς τὰ πράγματα. Πλευρὰ δὲ Δημητρίῳ τὴν πληγὴν ἐδέχετο, τοῦ Χριστοῦ τιμῶντος τὸν ἀθλητὴν τῇ τοῦ οἰκείου πάθους εἰκόνι, ὡς ἂν οἶμαι διὰ πάντων Θεῷ προσήκῃ, καὶ πολιτείας· καὶ βίου· καὶ τοῦ τεθνάναι, ἐπεὶ τοίνυν πάντα κατ’ εὐχὴν προυχώρησε, καὶ οὐδενὸς ἔδει τῶν γινομένων, εἴτε γὰρ ἔδει τρόπων τοὺς τῶν ἄλλων νικώντων, οὐδένες τῶν ἄλλων, τοῖς Δημητρίου προσῆκον, εἴτε συμβαῖνον τοῖς τρόποις ἐπενεγκεῖν καὶ τὸ τέλος, τὸ τῆς τελευτῆς αὐτῷ σχῆμα θαυμαστὸν, εὐσεβείας· καὶ φιλανθρωπίας· καὶ μεγαλοψυχίας οὐδὲν ἐλλεῖπον. Τοῦ σώματος ἤδη πεσόντος, ἡ θαυμαστὴ ἐκείνη ψυχὴ, ἐμοὶ δοκεῖ οὐ ⟨μόνον⟩ ἀγαπήσασα τοῖς ὑπὲρ τοῦ Σωτῆρος ἠγωνισμένοις, ἀλλ’ ἀθανάτων τουτωνὶ τῶν ἄθλων ἐφιεμένη, καὶ πλευρὰν μὲν ἑτέραν ἐζήτησεν ἂν προβαλέσθαι, ὡς ἂν πολλάκις ὑπὲρ εὐσεβείας αλγήσῃ. Ἐπεὶ δὲ οὐχ οἷόν τε, τὸ

758–759 κἀν – Παῦλον] Philem. 10 παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου […]

---

744 μετὰ] omnes codd.: κατὰ Ioannu **746** ἢ] scripsi: καὶ omnes codd. **753** πολλῷ] πολλῶν Ioannu **754** τοῦ] verbum τοῦ supra lineam scr. M **755** ἠνείχετο] ἠνείχετο ex εἰνήχετο scr. M^{pc} **758** τῷ] om. P **760** τῶν οὐρανῶν] omnes codd.: τὸν οὐρανὸν scr. Ioannu **768** προσήκῃ] προσήκῃ ex προσήκει scr. M^{pc} et V^{pc} **774** δοκεῖ] δοκεῖν omnes codd.: correxi | οὐ] scripsi: οὐκ omnes codd. | μόνον] addidi

καθαρὸν ἐκεῖνο σῶμα ἀφεῖσα, πρὸς οὐρανὸν ἐχώρησε· καὶ τῇ πάντων κεφαλῇ τῷ Χριστῷ συνήφθη, θαυμαστὸν μέλος καὶ πρέπον, πρεπούσῃ κεφαλῇ. Καὶ νῦν τὰ τῇδε σεμνύνει, καθάπερ ἄρα τὴν οἰκουμένην τοπρόσθεν· ὅτι τὲ πάντων ὧν πᾶσιν ἰδίᾳ μέτεστι μόνος μετέσχε, καὶ διατοῦτο τῆς περὶ Χριστὸν ἑταιρείας εἰκότως οἶμαι τὰ πρῶτα ἔχων, τὸ κοινὸν τοῦ γένους κοσμεῖ.

Χωρὶς τὲ τούτου, εἰ τὸ τῶν ἀστέρων κάλλος, τοσαύτην ἐνῆκε τοῖς ἀγγέλοις ἡδονὴν, πάντας ἐπὶ θαῦμα τοῦ δεδημιουργηκότος κινῆσαν, πῶς ποτ' αὐτοὺς διατεθεῖσθαι νομίζειν προσῆκεν, ἢ πῶς οὐκ ἂν ἐκπλαγῆναι, ἢ τίν' οὐκ ἂν ᾆσαι τῷ Δεσπότῃ παιᾶνα, Δημητρίου φανέντος; Ὅσο γὰρ ἐκεῖνος τῶν ἀστέρων ἀμείνων, τοσοῦτο πολλῷ μειζόνως ἐντεῦθεν ἢ τῶν ἀστέρων ὁ Θεὸς θαυμάζεται· καὶ περιφανεστέρας ἀφορμὰς ἐκεῖθεν ἴσχει τὸ θαῦμα. Οὕτως ἄρα καὶ τὸν οὐρανὸν ἡδίω ποιήσας, οἷς ἐπέβη κεκόσμηκε. Καὶ μὴν· καὶ οἷς τῶν περὶ Χριστὸν δυσεβούντων, μυρίους ἐπὶ τὴν εὐσέβειαν κινήσας, καὶ πείσας ἁμαρτωλοὺς ὄντας μετανοεῖν, ἀφορμὴν παρέσχε τοῖς ἄλλοις ἡδονῆς, χαρὰν γὰρ γίνεσθαι μεγάλην ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, θεία φωνὴ. Ὁ τοίνυν τοσαύτης αἴτιος εὐφροσύνης τοῖς οὐρανοῦ πράγμασι, πῶς οὐκ ἂν εἰκότως τὸν οὐρανὸν σεμνύνειν ἀκούοι· ἄλλως τε, καὶ μαρτύρων αὐτὸν ἔμπλεω δείξας, καὶ οἷς περιὼν ὢν, καὶ οἷς μετὰ τελευτὴν εἴργαστο;

Ἡ μὲν οὖν ψυχὴ τὸν οὐρανὸν ᾗπερ ἔφην σεμνύνει· καὶ μετὰ τῶν ἀγαθῶν ἀγγέλων, τῆς θείας ἀμέσως αἴγλης μετέχει· κορυφαῖος οἶμαι τῶν ἐνταῦθα γενομένων εὐδαιμονίας· τὸ σῶμα δὲ, μετὰ τῶν ἀνθρώπων· οὐχ ὅτι σῶμα καὶ τῆς κάτω μερίδος πρὸς γῆν χωρῆσαν. Ἐνῆν γὰρ αὐτὸ καὶ μετατεθῆναι, καὶ μεῖζον ἢ μετὰ τῶν ἀνθρώπων εἶναι γενέσθαι, καθάπερ ἄρα πολλῶν ἑτέρων ἐπ' ἀρετῇ θαυμασθέντων, ὧν οὐδὲν ἐκεῖνος, οὐδενὸς εἵνεκα τῶν ἀγαθῶν ἔλαττον εἶχεν, ἀλλὰ διὰ φιλανθρωπίαν, καὶ τῷ τὸν Δεσπότην, πάνυ τοι κἀν τούτῳ μιμηθῆναι τῷ μέρει, καὶ πάνυ τοὺς ἀνθρώπους φιλῆσαι, μετὰ τῶν ἀνθρώπων ἴσχει τὸ σῶμα. Ἐπεὶ γὰρ καὶ περὶ Χριστὸν μάλιστα πάντων ἐρωτικῶς εἶχε, καὶ θαυμαστὸν εἶχε περὶ τοὺς ἀνθρώπους τὸ φίλτρον, βουλόμενος ὥσπερ ἑκατέροις συνεῖναι, καὶ μηδενὸς ἀφίστασθαι, τὴν μὲν· πρὸς Θεὸν ἀνάγει, τὴν μακαρίαν ψυχὴν· τὸ δὲ σῶμα τοῖς ἀνθρώποις ἀφῆκε. Καὶ νῦν ἐστι, ψυχῆς μὲν τῆς θαυμαστῆς οὐ μετέχον· τῆς δὲ θείας ἐνεργείας καὶ χάριτος οὕτω γέμον, ὥσπερ ἄρα καὶ πρὶν ἥκειν εἰς τελευτὴν· εἰκότως. Εἰ γὰρ συναμφότερον τῶν μελλόντων ἀγαθῶν ἐκείνων εἰς πεῖραν ἥξει, παντίπου δῆλον, ὡς καὶ πρὶν ἀλλήλοις συγγεγονέναι· τὴν θαυμαστὴν ἐκείνην συνάφειαν, τῆς αὐτῆς ἄμφω χάριτος ἀπολαύει. Ἔτι δὲ κοινῶν αὐτοῖς γενομένων καὶ τῶν ἀγώνων καὶ τῶν τροπαίων, καὶ γὰρ καὶ σῶμα σαρκικῶν παθῶν οὐκ ἀγαθῶν περιεγεγόνει, καὶ ψυχὴ νενίκηκεν οἷς προσῆκε, κοινοὺς ἀνάγκη καὶ τοὺς στεφάνους σφίσι γενέσθαι· καὶ τῶν θείων ἀγαθῶν· τῶν τε

790–791 χαρὰν – φωνὴ] Luc. 15.7 λέγω ὑμῖν ὅτι οὕτω χαρὰ ἔσται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ἢ ἐπὶ ἐνενήκοντα ἐννέα δικαίοις [...]; Luc. 15.10 οὕτω, λέγω ὑμῖν, χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

785 Ὅσο] ὅσον Ioannu **792** εἰκότως] οἰκότως Ioannu **793** ἔμπλεω] ἔμπλεων P **796** ὅτι] omnes codd.: ἔτι Ioannu **800** κἀν] IMBP: νικᾷν V | μιμηθῆναι] μιμηθῆναι in margine add. B **811** σφίσι] om. BP

νῦν· τῶν τε μελλόντων, συναμφοτέρῳ μετεῖναι. Καὶ ὥσπερ ἐπὶ τῆς τοῦ Χριστοῦ τελευτῆς ὁρᾶν ἦν, τὴν μὲν ψυχὴν, τὸ θεῖον ἐκεῖνο σῶμα καταλιποῦσαν, τὴν θεότηταν δὲ οὐκέτι· ἀλλὰ τῇ ψυχῇ συνημμένην, καὶ τῷ σώματι συνημμένην. Οὐ γὰρ ἂν εἰ τῆς θεότητος ἔρημον ἦν τὸ σῶμα τῆς φθορᾶς ἐκράτησεν, ὡς δὲ, καὶ Δημητρίῳ ξυνέβη· ἧς γὰρ περιών γε ὢν θείας μετεῖχεν ἀκτῖνος, φῶς γὰρ δικαίοις διὰ παντὸς, ταύτης ἀπιὼν αὖθις αὖ ὁμοίως μετέχει, καὶ κατάμφω τὰ μέρη. Τήν τε γὰρ ψυχὴν πάνυ δίκαιος ὢν ἐν ταῖς χερσὶν ἴσχει ταῖς θείαις, τό, τε σῶμα τῶν αὐτῶν ἐκείνῃ μετέχον, δῆλον κατέστη, τοῦτο μὲν θαυμάτων αὐτουργὸν γινόμενον, τοῦτο δὲ θαυμαστὰ μύρα τῶν τραυμάτων ἀνιὲν, οὐδαμόθεν νεκροῖς προσῆκον, οὐκ ἂν εἰ χάριτος ἔρημον ἦν. Καὶ νῦν ὁρωμένον ὑμνεῖ τὰ θεῖα, καὶ τὴν δόξαν τοῦ Θεοῦ διηγεῖται, πάσης γλώσσης ἄμεινον.

Οὕτως ὦ πάντων τῶν βελτίστων ἄγαλμα σὺ, καὶ παντὸς ἀγαθοῦ κεφάλαιον, καὶ θείων χαρισμάτων τεχνῖτα, μὴ μόνον περιὼν καὶ τὸν ἥλιον βλέπων, πάντα καὶ πράττων διετέλεις καὶ λέγων ὑπὲρ Χριστοῦ· καὶ τοῦ παρὰ πάντων αὐτὸν ἀνθρώπων θαυμάζεσθαι καὶ βοᾶσθαι, ἀλλὰ τὸ πολλῷ γε μεῖζον καὶ νικῶν ἡδονῇ, καὶ μετὰ τελευτὴν, τὸ περὶ Χριστὸν ἐπεδείξω φίλτρον· καὶ κείμενος, πάντας τοὺς ἀνθρώπους ἐπὶ τοὺς ὕμνους τοῦ Σωτῆρος παρακαλεῖς. Οὐ γάρ ἐστιν οὐκ ἔστιν ὃς προσελθὼν τῷ μεγάλῳ τῶν ἀνθρώπων θαύματι σοὶ, οὐκ εὐθὺς τῷ μὲν Σωτῆρι χάριτας ἔγνω, τῶν δὲ σῶν μύρων καὶ τῶν ἐκεῖθεν χαρίτων ὅλος ὑφηδονῆς γεγονὼς, συνεῖναι μὲν εἰσάπαν ἐθέλει, δυσχεραίνει δὲ ἀπαλλάττων· ὥστε σοι προσήκουσαν εἶναι, τῷ μὲν βίῳ τὴν τελευτὴν, τῇ δὲ, τὰ μετὰ τελευτὴν θαύματα· καὶ μηδὲν εἶναι τῶν σῶν ἄνευ τῶν μεγίστων ἐπαίνων, καὶ τοῦ πάντας ἐκπλήττειν. Ἐπεὶ μηδ’ ἔστι μηδὲν ὧν σοι μέτεστιν, ὃ μὴ πάντας σχεδὸν ἀνθρώπους, τοῦ κατὰ σὲ πράγματος ἔλαττον ἔχοντας ἀποφαίνει καὶ πόρρω φέροντας· δῆλον δ’ ἂν εἴη παντὶ σκοπουμένῳ, τά τε σὰ, τά τε τῶν ἄλλων.

Τίς μὲν οὖν οὕτως ἅμα τῇ γ’ εἰς τὸν βίον προόδῳ καὶ πάντα βέλτιστος ἦν εὐθὺς, ὥσπερ πρινὴ γεγενῆσθαι, ταύτην ἐσχηκὼς μελέτην, τὸ πάντα βέλτιστος εἶναι; Τίς δὲ σοφίας μετασχὼν ἅ γε ἐχρῆν, ἔπειτα μόνην σπουδὴν καὶ μελέτην τὸν Χριστὸν εἶχε, καὶ τὸ λόγοις καὶ ἔργοις αὐτὸν περὶ αὐτὸν εὐσεβοῦντα, καὶ τοὺς ἄλλους ἐπὶ τὰ ἴσα προτρέπεσθαι; Τίς δ’ οὕτω χάριτος μὲν ἔμπλεως ὦπται, πρέποντα δ’ ἑαυτὸν πάντων εἵνεκα ταύτῃ παρέσχε, καὶ λόγων καὶ βίου· καὶ τοῦ διὰ πάντων ἥκοντος· τὸ δὲ πᾶσι· πρὸς τὸ τῆς ψυχῆς εὖ ἔχον κεχρῆσθαι, καὶ δόξῃ καὶ πλούτῳ καὶ τῷ συγκεχωρηκέναι τῆς τύχης, καὶ οὕτω φιλανθρωπίᾳ προσέχειν, ὡς εὖ ποιοῦντα, αὐτὸν εὖ πάσχειν νομίζειν, μᾶλλον δὲ περὶ πλείονος ἄγειν θατέρου, τὸ εὖ ποιεῖν, ταῦτα δὲ, τίνος ἀνύσαι κατὰ ταυτὰ; Καὶ μὴν, τίς οὕτω συνῄδει μὲν ἃ δεῖ τῶν πάντων ἑλέσθαι ποιῆσαι, εἵλετο δὲ τοσοῦτον, ἑλόμενος δὲ, μετὰ πολλοῦ τοῦ περιόντος εἴργαστο· τό· γε μὴν θαυμαστὸν ἐσχηκέναι περὶ τὸ θεῖον ἔρωτα, καὶ οὕτως ἁλῶναι τῆς ἐκείνου κατοχῆς, ὡς μὴ μόνον ὡς μηκέτ’ ὄντα τὰ παρόντα δι’ ἐκεῖνον ἐθελῆσαι προέσθαι,

816 ξυνέβη] συνέβη P | ἧς] ἧς ex οἷς scr. I^{pc} **829** οὐκ] οὐκ supra lineam scr. V **830** ὅλος] ὅλως Ioannu **833** ἔστι] ἔστιν Ioannu **842** καὶ^{1} – πλούτῳ] καὶ πλούτῳ καὶ δόξῃ, supra πλούτῳ litteram β, supra δόξῃ litteram α superscripsit P **843** ὡς] omnes codd.: τίς Ioannu **844** ἄγειν] omnes codd.: ἄγαν Ioannu

ἀλλὰ καὶ τῶν μελλόντων ἀγαθῶν, {μηδένα} ποιεῖσθαι λόγον, οὗ δεῖ τῆς εὐσεβείας προκινδυνεύειν, ἀνθ’ ὧν συνεῖναι μὲν ἑκάστοτε τοῖς λογισμοῖς τῷ Θεῷ, καὶ τῶν ἐκεῖθεν ἀμέσως ἔτι μετὰ σώματος ἀπολελαυκότα χαρίτων, τοιαύτην ἔπειτα τὴν αὑτοῦ ψυχὴν ἐξειργάσθαι, καὶ οὕτω καθᾶραι, ὡς πᾶσαν ὑπερβῆναι σωφροσύνης καὶ ἁγνείας ὑπερβολὴν, καὶ πρὸς τὴν ἀγγέλων φύσιν, ταυτηνὶ τὴν ἅμιλλαν ἴσχειν, ἔπειθ’ οὕτω καθάπαξ ἀπειλικρινημένον καὶ καθαρὸν τοῖς ὅλοις φανέντα, τοσοῦτο μείζω προθυμίαν περὶ τὸν Χριστὸν ἐσχηκέναι, ὡς καὶ ⟨τῶν⟩ τῶν μελλόντων ἂν ἀγαθῶν οὐκ ἐν ἐλπίσι κειμένων, αὐτὸν ἂν μηδὲν ἧττον ὑπὲρ Χριστοῦ καὶ τῆς ἀρετῆς ἠγωνίσθαι, καὶ διαταῦτα καὶ πρὶν ἐντεῦθεν ἀπᾶραι τῶν μελλόντων καὶ ἀρρήτων ἐκείνων ἀγαθῶν εἰς πεῖραν ἐλθεῖν; Ταῦτα τοίνυν, πῶς οὐ πάντες ἡττῶνται τοῦ κατ’ αὐτὸν πράγματος;

Τίς δ’ οὕτω διὰ πάντων τῶν βελτίστων ἐλάσας, καὶ ταπεινοφροσύνης τοσοῦτον ἐποιήσατο λόγον, ὡς πάντων ἡττᾶσθαι νομίζειν, πάντων εἵνεκα· κἀντεῦθεν σώματος μὲν καὶ τῶν τοῦ σώματος ἀναγκῶν οὕτως κρατῆσαι, ὡς μείζων ἢ κατ’ ἀνθρώπους τὰ τοιαῦτα γενέσθαι, τῶν δ’ ἐπανισταμένων τῇ ψυχῇ παθῶν οὑτωσὶ περιεῖναι, ὡς μὴ μόνον ἀργὰ καθάπαξ ἀποφαίνειν δύνασθαι, ὡς μηκέτι πρὸς βλάβην ἔχειν κινεῖσθαι, ἀλλὰ καὶ πρὸς τὰ βέλτιστα χρῆσθαι· καὶ δι’ ὧν ἑτέροις τὰ κατὰ ψυχὴν πράττει κακῶς· διὰ τούτων αὐτὸν εὐτυχεῖν; Τίς δ’ οὕτω πᾶσι πρὸς δόξαν τοῦ Θεοῦ κεχρημένος κατὰ τὸν Παῦλον, καὶ ταῖς ἀρχαῖς τουτονὶ τὸν τρόπον ἐχρῆτο, ὥστ’ οὐχ ὅπως μὴδεμίαν ἐκεῖθεν βλάβην πρὸς τὴν κατὰ ψυχὴν εὐπραξίαν δεδέχθαι, ἀλλὰ καὶ πολλῷ μείζω καὶ λαμπρότερον ἐντεῦθεν, ἢ ἐξ ὧν πρόσθεν ἕδρα φανῆναι;

Τίνι δὲ τοσοῦτον εὐσεβείας ἐμέλησεν καὶ τοῦ περὶ Χριστὸν ἔχειν, ὡς δόξαν μὲν καὶ πλοῦτον καὶ τὸ τῆς ἀρχῆς πρᾶγμα χαίρειν ἐᾶσαι, μόνης δὲ γενέσθαι τῆς περὶ τὸ θεῖον σπουδῆς, καὶ τοῦ πᾶσιν οἷς ἐξῆν, τὸν ἐπιστάντα τοῖς εὐσεβοῦσι πόλεμον διαλῦσαι, καὶ κατασκευάσαι τῷ Κυρίῳ λαὸν περιούσιον; Τὸ δ’ ἐν τοσαύτῃ τῆς εὐσεβείας κινδύνων ὑπερβολῇ, μὴ μόνον αὐτὸν περὶ τὸ θεῖον εὐσεβεῖν ἔχειν, καὶ μήτε κρατούντων εὔνοιαν περὶ πλείστου ποιεῖσθαι, μήτε δεδιέναι μηδὲν, τὰ δεινότατα ἀπειλούντων, ⟨ἀλλ’⟩ εὐσέβειαν δὲ μόνην καὶ Χριστοῦ φίλτρα, καὶ τὸ δι’ ἐκεῖνον τεθνάναι, καὶ ψυχῆς αὐτῆς προτιθέναι καὶ περὶ πλείονος ἄγειν, καὶ διαταῦτα τοῦτο μὲν λόγοις πειθοῖ νικῶσιν ἀντιστῆναι πρὸς τὸν κρατοῦντα καὶ τὸν Χριστὸν δεξιῶς ἄγαν καὶ τοῦ πνεύματος ἐπαξίως τοῖς Ἕλλησι Θεὸν ἀποδεῖξαι, τοῦτο δὲ καὶ αὖθις τὰ δεινότατα ἀνασχόμενον ὑπὲρ αὐτοῦ, τίνι τῶν πάντων οὕτως ἐξεγένετο; Τίνι δὲ τοσοῦτον μετῆν τῆς πρὸς Χριστοῦ παρρησίας, ὡς μὴ μόνον δεόμενον τυγχάνειν τῶν ἐν ταῖς εὐχαῖς,

---

865–866 πᾶσι – Παῦλον] allusio ad 1 Cor. 10.31 Εἴτε οὖν ἐσθίετε εἴτε πίνετε εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. || **872** κατασκευάσαι – περιούσιον] cf. e. g. 2 Mos. 19.5 καὶ νῦν ἐὰν ἀκοῇ ἀκούσητε τῆς ἐμῆς φωνῆς καὶ φυλάξητε τὴν διαθήκην μου, ἔσεσθέ μοι λαὸς περιούσιος ἀπό πάντων τῶν ἐθνῶν· [..]

---

849 μηδένα] seclusi **852** αὑτοῦ] αὐτοῦ Ioannu **855** τῶν[1]] addidi **857–858** ἐκείνων – πεῖραν] ἀγαθῶν ἐκείνων εἰς πεῖραν supra ἀγαθῶν litteram β, supra ἐκείνων litteram α, supra πεῖραν litteram γ superscripsit I **857** ἐκείνων] verbum ἐκείνων post μελλόντων transp. P **861** οὕτως] οὕτω P **869** τοσοῦτον] οὕτως BP | ἐμέλησεν] ἐμέλησεν post verbum ἔχειν transp. P: ἐμέλησε B **871** εὐσεβοῦσι] M: εὐσεβέσι IBPV **873** μὴ] M: καὶ IVBP **875** ἀλλ’] addidi | μόνην] μόνον P **880** τῶν] om. P

ἀλλὰ καὶ μόνον βουλόμενον, καὶ τοῦτο μὲν τὴν κατὰ τοῦ Λυαίου νίκην, τοῦτο δὲ τὴν κατὰ τοῦ κοινοῦ τοῦ γένους ἐχθροῦ τῷ Νέστορι δοῦναι μετὰ θαυμαστῆς ἐξουσίας, ὥσπερ ἀπόφασιν τινὰ ποιουμένον;

Τίς τοίνυν διὰ πάντων ἤλασε τουτωνὶ τῶν ἀγαθῶν, καὶ πάνθ’ ἃ τοῖς ἀνθρώποις πρὸς ἐπαίνου γίνεται συλλαβὼν ἔσχε, καὶ τοῦτο μὲν ἰδίᾳ καὶ τῷ καθ’ ἑαυτὸν ἄριστος ἦν, καὶ παρθενίας εἵνεκα καὶ φιλανθρωπίας καὶ εὐσεβείας, καὶ τῶν ἄλλων ἁπάντων, τοῦτο δὲ τῇ πρὸς τὸ κοινὸν πολιτείᾳ, μετὰ τῶν ἀποστόλων καὶ τῶν μεγίστων τῆς εὐσεβείας κηρύκων, τοῦτο δ’ οἷς τὰ μέλλοντα προύλεγεν εἰς προφήτας ἐτέλει; Καὶ μὴν καὶ δεινὰ παθὼν ὑπὲρ τοῦ Σωτῆρος καὶ τεθνηκὼς, καὶ μαρτύρων ἐπωνυμίᾳ μάλα προσῆκε, τίνι τῶν πάντων οὕτω διὰ πάντων ἐλθεῖν ξυνέβη, καὶ γενέσθαι τῶν τοῦ Πνεύματος χαρισμάτων ἁπάντων μόνον ὡς εἰπεῖν συντέλειαν; Προφήτας μὲν οὖν, ταύτην μεγίστην εἰσενέγκαι πρὸς τὸ κοινὸν ἐξεγένετο τὴν σπουδὴν, τὸ τὴν εἰσέπειτ’ ἐσομένην εἰς ἀνθρώπους εὐεργεσίαν καὶ τὸν ἐν σαρκὶ Θεὸν, πολλοῖς εἰπεῖν πρότερον χρόνοις, ὡς ἂν ἐν ἐλπίσιν ἔχοντες ἄνθρωποι, καὶ δέξωνται προσελθοῦσαν τὴν σωτηρίαν, καὶ μὴ τῷ μεγίστῳ καὶ ὑπερφυεῖ τοῦ πράγματος ἐκπλαγέντες, οὐ τὴν προσήκουσαν περὶ τοῦ Σωτῆρος λήψωνται δόξαν. Δημήτριος δὲ, καὶ αὐτὸς οὐδὲν ἧττον ἐκείνων τεχνίτης καταστὰς τῶν μελλόντων, καὶ χρησάμενος ἂν τῷ πράγματι πρὸς τὴν τοῦ Σωτῆρος ἐπιδημίαν, εἴ γε ἐπ’ ἐκείνων ἦν. Ὃ δ’ ἐπείπερ οὐκ ἔμελλεν ὁ Σωτὴρ, ἀλλ’ ἐν τοῖς ἀνθρώποις ἦν ἤδη, τὸ μὲν οὐκ ἐποίησεν· ἑτέρως δὲ· καὶ πολλῷ λυσιτελέστερον ἢ κατ’ ἐκείνους, εἰς τὸ κοινὸν ἐπολιτεύσατο· τῆς μὲν ἀσεβείας ἀπάγων· ἐπὶ δὲ τὸν ἐλθόντα Θεὸν, τοὺς ἀνθρώπους παρακαλῶν· καὶ τοὺς ἀπὸ Χριστοῦ καλουμένους ἅπαντας, κινδυνεύοντας καθάπαξ ἀπολωλέναι, αὐτὸς ἀναλαβὼν αὖθις.

Ποῦ δὲ θήσεις τὴν ἐκείνου περὶ τὸ γένος φιλανθρωπίαν, καὶ τὸ δι’ ἐκείνους ἂν ἑλέσθαι τεθνάναι· οὗ πλὴν ὀλίγων, οἶμαι δὲ οὐδ’ ὀλίγων, οὐδενὶ τῶν τότε μετῆν; Καὶ μὴν εἰ πρὸς ἐπαίνου τοῖς προφήταις, ὅτι τὸν μέλλοντα Θεὸν ἐλεύσεσθαι προσεδόκων, πῶς οὐ πᾶσαν ἐπαίνων ὑπερβολὴν τὰ τοῦδε νικᾷ; Οὕτω μὲν τὸν Χριστὸν καὶ ἰδόντος καὶ φιλοῦντος καὶ συνόντος ἑκάστοτε, οὕτω δὲ τοῦ σταυροῦ καὶ τοῦ τεθνάναι μετασχόντος αὐτῷ, καὶ κατ’ ἐκεῖνον δι’ ἐκεῖνον σφαγέντος, ὡς καὶ θεοείκελον ἐντεῦθεν ἀκοῦσαι, ὃν ἐκεῖνοι καὶ μάλα μανικῶς ἐρῶντες οὐδὲν μᾶλλον ἔτυχον τοῦ Χριστὸν ἰδεῖν καὶ τὸ ὑπὲρ ἡμῶν ἐκχεθὲν αἷμα καὶ τὸ τεθνάναι, τούτων ἐκεῖνον, τῷ μὲν· συνόντα, τῶν δ’ αὐτῷ κεκοινωνηκότα. Ἐπεὶ δὲ καὶ στρατηγοί τινες ἐν αὐτοῖς καὶ σωτῆρες τοῦ γένους, ἐκεῖνο λέγω· ὡς εἰ καὶ δυσχερῶν τινων ἀπήλλαξαν ἔστιν οὓς, καὶ τὴν ἐλευθερίαν σφίσι παρέσχον, ἀλλ’ οὐ τὴν κατὰ ψυχὴν εὐεξίαν, οὐδὲ τὸ πρὸς Θεὸν ἐπεστράφθαι· οὗ χωρὶς, τοῦ μηδενὸς ἄξια τὰ πάντα, κἂν δόξαν εἴποις, κἂν πλοῦτον, κἂν ἐλευθερίαν, κἂν ὁτιοῦν. Δημήτριος δὲ, καὶ ταῦτα μὲν, οὐδενὸς ἧττον ἐκείνων, Ἑλλήνων ἄρχων ἐφάνη· πολλῷ δὲ πλέον, ἃ πολλοῦ τιμᾶται Θεὸς, τῆς τῶν ἀνθρώπων ἐφρόντισε σωτηρίας, καὶ τοῦ γ’ ἀπὸ μὲν τῶν νοητῶν πολεμίων τρόπαια

891 Προφήτας] προφήταις BP **896** λήψωνται] λήψονται BP **901** παρακαλῶν] πατέρα καλῶν Ioannu **910** ὃν] ὧν BP | μᾶλλον] verbum μᾶλλον in margine add. P **912** αὐτῷ] αὐτὸ P **914** παρέσχον] omnes codd: παρέσχων Ioannu **916** ἧττον] ἥττων BP **918** μὲν] om. BP

στῆσαι· τῆς δ’ ἐκεῖθεν ἀχλύος τοὺς ἀνθρώπους καθάρας, ὅ δ’ ἔπειτα προσαγαγεῖν τῷ Θεῷ· ὧν ὀλίγα τοῖς προφήταις προσῆν. Θεῷ δὲ οὐχ ἅπαξ· οὐδὲ δὶς συνέμιξεν, οὐδὲ δὶς τοσαύτας, καθάπερ ἐκείνων ἐνίοις ἐξεγένετο δήπου· ἀλλὰ διὰ βίου παντὸς· εἴ γε τοῖς μὲν καθαροῖς τῇ καρδίᾳ, καὶ τὸ τὸν Θεὸν ὁρᾶν ἐξανάγκης ἕπεται, Δημητρίῳ δὲ, παρθενίαν καὶ ἁγνείαν παρὰ πάντα τὸν χρόνον, παντὸς μᾶλλον ἅπαντες σύνισμεν. Τήν γε μὴν Δημητρίου σωφροσύνην, καὶ τὸ παρὰ πάντα κεκαθάρθαι τὸν βίον, τό τε Χριστὸν, μὴ μόνον αὐτὸν λαβεῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις νομοθετῆσαι, καὶ πεῖσαι περὶ αὐτὸν εὐσεβοῦντας εἶναι, καὶ τελευτῶντα δι’ ἐκεῖνον τεθνάναι, ταῦτα δὲ, τίνος πέρι τῶν προφητῶν εἰπεῖν ἔχομεν; Οὕτω πάντων εἵνεκα, καὶ βίου, καὶ τῆς εἰς τὸ κοινὸν πολιτείας, καὶ τοῦ Θεῷ μιγνῦναι, προφητῶν ἐκράτησεν.

Εἰ δὲ καὶ τὸν Ἰὼβ θαυμάζειν εἰκὸς τῆς περὶ τὰ δεινὰ καρτερίας, Δημήτριον, τίνι χρὴ προσθεῖναι τῷ θαύματι; Ὃς, ἔδωκε μὲν τοῖς δεινοῖς τὸ σῶμα· ἐξέχεε δὲ τὸ αἷμα· προήκατο δὲ τὴν ψυχὴν, διὰ τὰ Χριστοῦ βέλη καὶ φίλτρα, καὶ οὐκ ἠγάπα τοῖς δυσχερέσιν, ἀλλ’ ἤρα πολλῷ μειζόνων τὲ καὶ πλειόνων. Καὶ μὴν ἐκεῖνος μὲν πρὸς τὰ δεινὰ δυσχερῶς ὡς μάλιστα ἔχων, ἀγαπητῶς ἀπήλλαξεν ἂν, καὶ κατ’ εὐχὴν ἐνόμισε πρᾶξαι, φεύγων τὰς συμφορὰς· Δημήτριος δὲ, τοσοῦτον ἀπεῖχε τοῦ ταυτὰ ἐκείνῳ καὶ παθεῖν καὶ νομίσαι, ὥστε καὶ τῶν δυσχερῶν ἐπιόντων μὲν, ἡδέως εἶχεν· ὑποχωρούντων δὲ, ταῖς εὐχαῖς αὖθις ἐχρῆτο, καὶ Θεὸν ἐπήγγελλεν αὖθις ἰδεῖν τὰ δεινὰ.

Τοσοῦτον καὶ ἀνδρίας εἵνεκα Δημητρίου κἀκείνου τὸ μέσον· εἰ γὰρ δεῖ καὶ τἄλλα τὰ μείζω προσθεῖναι, δῆλον ὅσον Δημητρίῳ τὸ κράτος. Ἐπεὶ δὲ τὴν μὲν πάντων μεγίστην θυσίαν προσήγαγε τὴν ψυχὴν τὴν ἑαυτοῦ, τῆς δὲ σφαγῆς τοῦ δι’ ἡμᾶς τυθέντος Χριστοῦ, τύπος μὲν οὐκέτ’ ἦν· αὐτήν δ’ ἐκείνην πέπονθε τὴν σφαγὴν, καὶ τοῦτο μὲν ἄγαλμα κατέστη τῶν τοῦ Θεοῦ πρὸς ἡμᾶς χαρίτων, καὶ πρὸς τὴν θείαν ἀρετὴν, ὡς ἀνθρώπῳ γε ἔξεστιν ἡμιλλήθη, καὶ πρὸς οὐρανὸν, αὐτός τε ἧκε, καὶ τοῖς ἄλλοις ἀγωγὸς πρὸς αὐτὸν κατέστη, τοῦτο δὲ καὶ τῶν τῆς σαρκὸς κινημάτων, τοσοῦτον μείζων ἐφάνη, ὡς μηδὲ προσήκειν ἤδη τῇ σαρκὶ τὸ πρόσρημα. Καὶ Ἀβραὰμ· καὶ Ἰσαὰκ· καὶ Ἰακὼβ· καὶ τὸν Ἰωσὴφ νενικήκει· τὸν μὲν, τὴν ἐκ στεάτων θυσίαν τῷ Θεῷ καὶ τὸν υἱὸν προσενηνοχότα· τὸν δὲ, τύπον μόνον φανέντα τοῦ σφαγέντος ἀμνοῦ τοῦ Θεοῦ· Ἰακώβ δὲ τῷ Θεῷ λιθίνην ἀνέντα στήλην, καὶ μόνον ἰδόντα τὴν πρὸς οὐρανὸν ὁδὸν, καὶ ὄναρ πρὸς τὸ θεῖον ἠγωνισμένον. Ἰωσήφ γε μὴν ἐκράτησε, διαβίου παρθενίᾳ συνεζηκὼς, ἅπαξ πρὸς ἀκολασίαν ἠγωνισμένον. Τούτων μὲν οὖν οὕτω μετὰ πολλοῦ τοῦ περιόντος Δημήτριος, πολλῷ γ’ ἀμείνων.

---

947 Ἰακώβ – στήλην] *Gen.* 35.14 καὶ ἔστησεν Ἰακὼβ στήλην ἐν τῷ τόπῳ, ᾧ ἐλάλησε μετ’ αὐτοῦ ὁ Θεός, στήλην λιθίνην, καὶ ἔσπεισεν ἐπ’ αὐτὴν σπονδὴν καὶ ἐπέχεεν ἐπ’ αὐτὴν ἔλαιον.

---

920 ὧν ὀλίγα] omnes codd.: τῶν ὀλίγων Ioannu **922** τὸν Θεὸν] ante τὸν θεὸν verba καὶ τὸ τὸν in margine add. B | ὁρᾶν ἐξανάγκης] ἐξανάγκης ὁρᾶν, supra ἐξανάγκης litteram β, supra ὁρᾶν litteram α superscripsit B **924** μὴν] om. P **926** πέρι] περὶ Ioannu **934** καὶ] om. I **938** τὰ μείζω] om. BP **941** ἡμᾶς] omnes codd.: ὑμᾶς Ioannu **942** γε] MIBP: γ’ V **943** δὲ] verbum δὲ supra lineam add. M **947** δὲ] post δὲ spatium uni verbi habet M | στήλην] στήλην supra lineam add.. V[pc]: om. MIBP **948** ὄναρ] omnes codd.: ὄντα Ioannu

Μέτειμι δὲ ἐπὶ τὸν Ἰωάννην τὸν Ζαχαρίου τὸν πάνυ· καὶ δείξω κἀνταῦθα τὸ συγκεχωρηκὸς εἰληφότα. Ὁ μὲν, οὖν, προφήτης τε ἦν, καὶ προφητῶν ἁπάντων τοσοῦτον ἄριστος, ὅσον ἄρα τῷ χρόνῳ προύχοντας εἶχεν· ἐδείχθη δὲ καὶ Δημητρίῳ ταῦτα προσόντα, καὶ οὗτος τῶν αὐτῶν μετέσχεν ἐπαίνων τούτῳ τῷ μέρει. Ἀλλ’ οἷς, τῷ μὲν, ἐδέησεν ἐρημίας καὶ τοῦ πόρρω τῶν ἀνθρώπων γενέσθαι, καὶ τροφῆς ξένης δή τινος καὶ ἀήθους, πρὸς τὸ τὰ τῆς σαρκὸς κινήματα καταστεῖλαι, καὶ πᾶν ἀπὸ τῆς ψυχῆς πονηρὸν ποιησάμενον, καθαρὸν ἔπειτα τῷ καθαρῷ Θεῷ συγγενέσθαι, Δημήτριος δὲ δίχα ταυτησὶ τῆς ἐπικουρίας, ἴσχυσεν, ἀπὸ παντὸς πονηροῦ τρόπαιον ἀναστῆσαι, καὶ τοσοῦτον ψυχὴν καθᾶραι, ὡς αὐτὸν ἔνοικον ἐσχηκέναι Θεὸν, οὐκέτ’ ἴσα σφίσι τὰ πράγματα· ἀλλὰ Δημητρίῳ μὲν, μείζονος ἀρετῆς καὶ ἀνδρίας ἐξενήνεκται δεῖγμα· Ἰωάννου δὲ, ἧττον ἔχει· ὥσπερ δυοῖν στρατιώταιν ὁμοίως νενικηκότοιν, ὁ δίχα πολλῆς παρασκευῆς ὅπλων κρατήσας, τοῦ μετὰ ταυτησὶ τῆς συμμαχίας κεκρατηκότος ἄμεινον ἔχει ῥώμης εἵνεκα· εἰ δ’ ἐκεῖνος πολλοῦ τινος ἄξιος, τὸν Χριστὸν δείξας τοῖς ἀνθρώποις ἁπλῶς οὑτωσὶν, πλείονος οὗτος εἰκότως ἂν εἴη, πάντα καὶ εἰπὼν καὶ ποιήσας καὶ πεπονθὼς, ὑπὲρ τοῦ Θεὸν αὐτὸν τοὺς ἀνθρώπους ὄντα διδάξαι, καὶ δοξάσας αὐτὸν οὐ λόγοις μόνον καὶ ἔργοις, ἀλλὰ καὶ τοῖς αὑτοῦ μέλεσι, καὶ τῷ δεινὰ παθεῖν καὶ τεθνάναι· καὶ βαπτίσας αὐτὸν μὲν οὐκέτι· – οὐ γὰρ ἐνῆν – δι’ αὐτὸν δὲ, καὶ ἑαυτὸν καὶ πολλοὺς ἑτέρους, τὸ μέγιστον καὶ ἱερώτατον βαπτισμάτων ἁπάντων, τὴν διὰ μαρτυρίου καὶ αἵματος τελευτήν· καὶ ἀποθανὼν, οὐχ ὑπὲρ νόμων ὥσπερ ἐκεῖνος· ἀλλ’ ὑπὲρ αὐτοῦ τοῦ τὸν νόμον θέντος Χριστοῦ. Οὕτως ἄρα καὶ τῷ τῶν ἀνθρώπων μεγίστῳ, τὰ μὲν, τῶν ἴσων μετέσχε, τὰ δὲ, καὶ νενίκηκε.

Τῶν δὲ τοῦ Χριστοῦ συγγεγονότων τοὺς κορυφαίους, Πέτρον ἴσμεν καὶ Παῦλον, καὶ τὸν υἱὸν τῆς βροντῆς. Παῦλος μὲν οὖν, θαυμαστὸν εἶχε περὶ τὸν Δεσπότην τὸ φίλτρον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας, μανικός τις ἦν ἐραστής· ἀλλ’ εἰς πολεμίους τοπρόσθεν τῷ Χριστῷ τάττων, ἔπειτα δι’ ἐμφανείας φρικώδους, τῶν ἑταίρων αὐτῷ κατέστη. Δημήτριος δὲ, τὴν περί τε τὸ θεῖον περί τε τοὺς ἀνθρώπους ἀγάπην οὐδὲν ἔλαττον ἔχων τοῦ Παύλου· τῆς γὰρ μεγίστης ἀγάπης – καὶ ἧς οὐδεὶς ἔχει μείζω κατὰ τὸν θεῖον χρησμὸν – ἐξήνεγκε δεῖγμα, δεινὰ παθῶν ὑπὲρ αὐτοῦ καὶ τὴν ψυχὴν προέμενος, οἷς εὐθὺς ἀπὸ γραμμῆς κατὰ τὴν παροιμίαν ἀγαθὸς ἦν. ⟨Ἐπεὶ⟩ καὶ Χριστὸν ἐφίλησε· καὶ τῶν ἀγαθῶν τῶν αὐτοῦ καὶ αὐτὸς μετεῖχε, καὶ τοῖς ἄλλοις ἀνθρώποις αἴτιος ἦν, παρελήλυθε Παῦλον. Εἰ δὲ μὴ τὸν ἴσον ἐκείνῳ κύκλον τὸν Χριστὸν κηρύττων διῆλθεν, οὐδὲν πρὸς τὸν λόγον· πάνυ γὰρ βουλόμενον, οὐκ ἀφῆκεν ὁ χρόνος, μᾶλλον δὲ τὸ περὶ τὸν Χριστὸν φίλτρον, πεῖσαν ἐν νεότητι, θανάτου καταφρονεῖν. Καὶ μὴν δῆλος ἐγένετο τοσοῦτον ἂν διεληλυθὼς κύκλον, εἰ τοσοῦτον χρόνον μετὰ τῶν ἀνθρώπων ἦν, οἷς κατὰ ταυτὰ τῷ Παύλῳ, τὸν Χριστὸν ἐφίλησεν. Ἐγὼ δὲ, καὶ

973–976 Παῦλος – κατέστη] allusio ad Act. 9.1–30 || **977–979** τῆς – προέμενος] allusio ad Joh. 15.13 μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.

---

954 μετέσχεν] omnes codd.: μετέχων Ioannu **961** Ἰωάννου] correxit Ioannu: Ἰωάννῃ omnes codd. | ὥσπερ] ὥσπε legitur in M **964** οὑτωσὶν] M: οὑτωσὶ IVBP **966** οὐ – ἔργοις] οὐ μόνον ἔργοις καὶ λόγοις scr. BP | αὑτοῦ] αὐτοῦ P **971** νενίκηκε] νενίκηκεν I **972** τοῦ Χριστοῦ] τῷ Χριστῷ BP **979** Ἐπεὶ] addidi **980** μετεῖχε] omnes codd.: κατείχετο Ioannu

κατ’ αὐτό γε καὶ μάλιστα τοῦτο παρελάσαι Παῦλον τὸν Δημήτριον φημὶ, ὅτι τῷ μὲν, πολλοῦ τινος ἐδέησε χρόνου, πρὸς τὸ σκεῦος ἐκλογῆς γεγενῆσθαι· Δημήτριος δὲ κατὰ τὸν σοφὸν Σολομῶντα, τελειωθεὶς ἐν ὀλίγῳ, μακροὺς ἐπλήρωσε χρόνους· καὶ Παῦλος ἐφάνη, καὶ Παύλου μείζων.

Κατ’ αὐτὰ δὲ ταῦτα, καὶ Πέτρον νενικήκει τὸν μέγαν· καὶ πρός γε ἔτι, θαυμαστὸν μὲν ὄντα πρόσθεν τὸν ζῆλον· ἐν δὲ ταῖς συμφοραῖς· καὶ τοῦ Χριστοῦ δεινὰ πάσχοντος, μᾶλλον δὲ μελλόντων τῶν δεινῶν, καὶ τοῦ καιροῦ τὸν ἄνδρα καλοῦντος, παρὰ πᾶσαν προσδοκίαν ὡς εἰπεῖν ὑφιέντα, αὐτὸς ἐν ταῖς ὑπὲρ εὐσεβείας συμφοραῖς, πολλῷ θαυμαστότερον ἐπιδειξάμενος τὸπερὶ αὐτὸν φίλτρον, καὶ μείζω τὴν καρτερίαν. Ἔτι δὲ, Πέτρος μὲν ὡμίλησε γάμῳ· ὁ δὲ, παρθενίας ἦν ἀθλητὴς.

Ἰωάννῃ δὲ τῷ πάνυ, μὴδὲμίαν ὑπερβολὴν· οὐ παρθενίας, οὐ θεολογίας, οὐ φιλοθεΐας ἀφεὶς, ὅ δ’ ἔπειτ’ ἄλλον τρόπον, καὶ αὐτὸν παρελαύνει, ὑπὲρ τοῦ ποθουμένου πληγεὶς καὶ ἀποθανὼν· ἐκείνῳ γὰρ, οὐ ταῦτα ξυνέβη. Κοινῇ δὲ πάντας ἀποστόλους, κοινωνοὺς μὲν ἴσχει τῶν ὑπὲρ εὐσεβείας ἀγώνων καὶ τῶν κινδύνων· νικᾷ δὲ, τῷ μὴ Χριστὸν ἰδὼν, μὴδ’ ὧν αὐτουργὸς κατέστη θαυμάτων, μὴ τοὺς ἀπογεγονότας αὖθις ἐπὶ φῶς ἰόντας ὥσπερ ἐκεῖνοι, ἔπειτα Χριστῷ προσχωρήσας, καὶ τῶν αὐτῶν αὐτοῖς μετασχὼν κινδύνων ὑπὲρ αὐτοῦ· καὶ μακάριος οὗτος μᾶλλον ἐκείνων, μὴ ἰδὼν καὶ πιστεύσας κατὰ τὸν θεῖον χρησμὸν.

Οὕτως ὦ πάντων ἀνθρώπων βέλτιστε σὺ, καὶ προφήτης εἶ, καὶ προφητῶν μακρῷ πάντων ἄριστος· καὶ ἀπόστολος, καὶ ἀποστόλων γε μέγ’ ἀμείνων· καὶ μάρτυς, καὶ παρὰ πάντων τῶν ἐνταῦθα γενομένων σχήματος, τὸ συγκεχωρηκὸς ἔχων· καὶ οὐδείς ἐστιν ὁ τῷ κατὰ σὲ πράγματι τῶν ἴσων ἀμφισβητήσας, οὐδ’ ὅ γ’ εἰς ἔπειτ’ ἀμφισβητήσων· ἀλλ’ ὥσπερ ὁ ἥλιος, μόνος τὲ εἶ, καὶ μόνος ἴσχεις τὸ πάντων θαῦμα· καὶ μόνος παντοδαπὸν ἀγαθὸν ἔσῃ τῷ βίῳ, καὶ οὔτ’ αὐτὸν σὲ βέλτιστε εἰς παράδειγμά ἐστιν ἀνενέγκαι, ἀλλ’ εἴ τινα δεῖ καὶ λαβεῖν εἰκόνα τῶν σῶν, πᾶσαν ἐροῦμεν τὴν περὶ Θεὸν ἑταιρίαν, καὶ οὐχ ἕνα δήπουθεν, οὔτ’ αὖ ἐσεῖται τὰ σὰ παράδειγμα. Ἀλλ’ ὃ πολλοῖς εἴρηται περὶ πολλῶν πολλάκις, τοῦτ’ αὐτὸς ἀκούειν ἁπάντων δικαιότατος εἶ, τὸ πρῶτος, καὶ μέσος, καὶ τελευταῖος. Καὶ νενίκηκας μὲν, τὸν τῶν ἁγίων σύμπαντα κύκλον, καὶ καθ’ ἕνα, καὶ κατὰ φατρίας, καὶ πάντας ὁμοῦ· τὸ μὲν, ἅ γε πάντες εἰσὶ, μόνος αὐτὸς γενόμενος· κοινῇ δὲ πάντας, οἷς, ἃ πᾶσι πρόσεστι, μόνος ἁπάντων μετέχων, καὶ τὸ μεθ’ ὑπερβολῆς προσειλήφεις· τῷ δὲ πάντων Δεσπότῃ, τῶν ἴσων ὥσπερ ἐφιλονείκησας μετασχεῖν. Καὶ δὴ, ἐμαρτύρησεν ἐκεῖνος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν· ἐμαρτύρησας καὶ αὐτὸς τὴν αὐτὴν ὁμολογίαν ἐκείνῳ· δεδεμέ-

987 πρὸς – γεγενῆσθαι] Acta Sanct. 9.15 [...] πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν τε Ἰσραήλ· || **987–988** Δημήτριος – χρόνους] Wi. 4.13 τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακροὺς || **1002–1003** μακάριος – χρησμὸν] Joh. 20.29 λέγει αὐτῷ ὁ Ἰησοῦς· ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. || **1011–1013** ὃ – τελευταῖος] cf. e. g. Dio Chrysost. *Orationes* (Arnim 18.8.1–2) Ὅμηρος δὲ καὶ πρῶτος καὶ μέσος καὶ ὕστατος παντὶ παιδὶ καὶ γέροντι, [...]

986 καὶ] om. P | τοῦτο] om. BP **998** ταῦτα] MIVB: πάντα P **1013** σύμπαντα] ἅπαντα PB **1015** μόνος[1]] post μόνος verbum αὐτὸς scripsit et delevit I

νον ἔμαθες, ἐδέθης αὐτὸς· ἐδέξατο τῇ πλευρᾷ τὴν πληγὴν ὁ Δεσπότης, καὶ σὺ τούτῳ τῷ μέρει, τὰς πολλὰς ἐκείνας ἐδέξω· τὸ ὑστέρημα τῶν τοῦ Χριστοῦ παθημάτων, κατὰ Παῦλον τὸν σὸν ἑταῖρον ἀναπληρῶν. Τὸ δὲ σχῆμα τοῦ θανάτου, ὑπὲρ ἀνθρώπων ἐκεῖνος εἵλετο τὴν τελευτήν· ὑπὲρ αὐτοῦ καὶ τῶν ἀνθρώπων ἐτελεύτησας αὐτὸς, εἰ καὶ τρόπον ἕτερον· ἴσως διατοῦτο καὶ πολλαπλασίους ἢ κατὰ τὸν Δεσπότην τὰς πληγὰς δεδεγμένος, ἅθ' ὑπέρ τε τοῦ Δεσπότου καὶ τῶν ὁμοφύλων ἠγωνισμένος. Ἦν δὲ εἰκάσαι τοὺς μὲν λόγους οἷς ἐχρήσω πρὸς τὸν κρατοῦντα, τοῖς τοῦ Σωτῆρος ἐπὶ τοῦ Πιλάτου λόγοις· τὸ δὲ δεσμωτήριον, τῷ σταυρῷ· τὴν δὲ πλευρὰν τὴν σὴν, τῇ τοῦ Δεσπότου πλευρᾷ· τὰ δόρατα δὲ, τῷ δόρατι· τὸ δὲ σὸν αἷμα, τῷ θείῳ· τὸ δὲ μὴ ἐκεῖνον τὰ δεινότατα πάσχοντα δυσχεράναι, τῷ μηδὲ σὲ. Οὕτω παρελήλυθας μὲν τὴν κοινὴν τῶν ἀνθρώπων φύσιν· θείας δὲ μοίρας ἐπιτυχὴς γεγονὼς, προφήτης κατέστης, ἀπόστολος, ἄγγελος· θεὸς.

Ἀλλ' ὢ θαυμαστὴ τῶν ἀνθρώπων εὐδαιμονία· ὢ σοφίας Θεοῦ τεχνῖτα, καὶ θησαυρὲ θείων ἐρώτων· ὢ τῆς περὶ Χριστὸν ἀγάπης, μηδὲ τὴν τῶν οὐρανῶν βασιλείαν φιλτέραν ἄγων· ὢ τρόπαιον εὐσεβείας, καὶ εἰκὼν τῶν Θεοῦ χαρίτων· ὢ παρθενίας τοσοῦτον μετέχων, ὡς μηδὲ τοὺς ἀγγέλους ἐᾶσαι πλέον ἔχειν σαὐτοῦ· ὢ φύσεως ἔνδειξις καὶ φιλοτιμία τοῦ γένους, καὶ πάντων ἀγαθῶν συντέλεια· ὢ τῶν ὑπὲρ Χριστοῦ τραυμάτων καὶ τοῦ τεθνάναι, τοσοῦτον ἔρωτα κεκτημένος, ὡς καὶ δυσχεραίνειν ἔτι μελλόντων. Ὢ κοινωνὲ τῷ Χριστῷ τῶν τραυμάτων, καὶ τῆς τελευτῆς, καὶ τῆς δόξης· ὢ πάντας πείθων καταφρονεῖν σωμάτων, πρὸς σὲ δὴ βλέποντας· ὢ τὸ πῦρ ὃ βαλεῖν ἐπὶ τῆς γῆς ὁ Χριστὸς ἦλθεν, ὅλον ἐν τῇ ψυχῇ δεδεγμένος· ὢ καὶ τῶν μελλόντων ἀγαθῶν, οὐκ ἂν γε μελλόντων, αὐτὸς οὐδὲν ἧττον ἂν ὑπὲρ Χριστοῦ καὶ τῶν αὐτοῦ φίλτρων ἠγωνισμένος, ἅτε μηδ' ἐπηγγελμένων τῶν ἄθλων, διὰ ταῦτα Χριστὸν φιλήσας· ὢ μηδὲ Παύλῳ τῶν πρεσβείων παραχωρήσας, τῷ περὶ Χριστὸν μεμηνότι, τῷ μανικωτάτῳ τῆς περὶ Χριστὸν ἑταιρίας. Ὢ Χριστοῦ μὲν ἑταῖρε· Χριστοῦ δὲ μιμητὰ, Χριστοῦ δὲ κατὰ τὸν Παύλου λόγον συγκληρονόμε· ὢ πάντα μὲν τοῦ μηδενὸς ἄξια κρίνας, πλὴν ὅσα πρὸς Θεὸν φέρει· ὢ Θεοῦ μὲν σύμμαχος γεγονὼς, δαιμόνων δὲ ἀπαλλάξας τὴν οἰκουμένην· ὢ φιλανθρωπότατε μαρτύρων ἁπάντων· ὢ θαυμαστῇ περὶ τοὺς ὁμοφύλους κεχρημένος φιλανθρωπίᾳ, ὥστε τοῖς μὲν· πατὴρ, τοῖς δ' ἀντὶ μητρὸς, τοῖς δ' ἀντ' ἀδελφοῦ καταστῆναι, καὶ διατοῦτο πᾶσιν ἀνθρώποις· καὶ πατρὸς καὶ μητρὸς καὶ ἀδελφῶν ποθεινότερε· ὢ Χριστοῦ μὴ μόνον αὐτὸς φανεὶς εὐωδία, ἀλλὰ καὶ τοῖς ἄλλοις ἀνθρώποις τὸ κενωθὲν προμνώμενος μύρον· ὢ τοπρό-

---

1020–1021 τὸ – ἀναπληρῶν] Colos. 1.24 νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ [...]
1039 τὸ – ἦλθεν] Luc. 12.49 Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη.
1043–1044 Χριστοῦ² – μιμητὰ] 1 Cor. 11.1 Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. || **1044** Χριστοῦ – συγκληρονόμε] Rom. 8.17 εἰ δὲ τέκνα, καὶ κληρονόμοι, κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ, εἴπερ συμπάσχομεν ἵνα καὶ συνδοξασθῶμεν

1021 ἀναπληρῶν] ἀναπληρῶν ex ἀποπληρῶν scr. P^{pc} **1033** τοῦ Δεσπότου] τοῦ Δεσπότου in margine et τοῦ Σωτῆρος in texto scr. P τῶν] post τῶν verbum τοῦ add. IVBP **1044** τὸν] post τὸν verbum τοῦ add. I

σθεν μὲν αἷμα, νυνὶ δὲ μύρον τῶν ὠτειλῶν ἀφιεὶς· μᾶλλον δὲ καὶ νῦν οὐχ ἧττον ἢ πρόσθεν αἷμα, ἀπὸ γὰρ πληγῶν καὶ τραυμάτων καὶ τότε πληγὲν, μύρον ἀνῆκε σοι τὸ σῶμα· ἐπεὶ καθαρότητος καὶ ἁγνείας οὐδὲν ἐλλεῖπον, τῆς τοῦ Πνεύματος εὐωδίας μετέσχε, καὶ μύρον αὐτῷ κατέστη τὸ αἷμα· ὡς καὶ τὸν Χριστὸν, ὀσμὴν εὐωδίας αἰσθέσθαι, ὅ φασιν ἐπὶ τῆς θυσίας Ἄβελ γενέσθαι· ὥστε νῦν, οὐ μετέβαλλε τὸ σὸν αἷμα πρὸς μύρον· ἀλλὰ μύρον ὂν ἐξ ἀρχῆς, ὅπερ ἦν ἐν τῷ νῦν εἶναι φαίνεται.

Ἀλλ’ ὦ πᾶν ὁτιοῦν τῶν ἀγαθῶν καὶ ὢν αὐτὸς καὶ καλούμενος, καὶ τὴν ἀρετὴν, οἷς μετέσχες, μάλα σεμνύνας· ἡμῖν μὲν, ὁ τῶν σῶν ἐπαίνων ἆθλος ἠγώνισται δὴ, ὃν, ὁ σὸς εἰργάσατο πόθος, δεύτερον ἤδη· τῷ μὲν ἀθλητῇ· καὶ τῇ τῶν λόγων ἡμῖν δυνάμει, πάνυ προσήκων· τῷ μεγέθει δὲ τοῦ πράγματος, οὐκ ἂν ἔτι· νικᾷ δὲ τὰ σὰ. Δυσχεραίνω δὲ οὐδαμῶς· σοῦ δὲ δοῦναι τὰ γέρα, μὴ τῇ δυνάμει, τῷ δὲ βουλομένῳ συμβαίνοντα, ὦ κἀν τούτῳ μιμησάμενος τὸν Δεσπότην, τὸν ἐκ παίδων προσιέμενον ὕμνον, ἐκ πάνυ τοι νέου τὰ τοιαῦτα καὶ αὐτὸς δεδεγμένος, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1054–1055 ὀσμὴν – γενέσθαι] allusio ad Gen. 4.1–16 || **1062–1063** τὸν[2] – ὕμνον] allusio ad Daniel 3.1–3.33

1051 μὲν] om. PB **1054** αὐτῷ] omnes codd.: αὐτὸ Ioannu | αἷμα] αἷμα ex σῶμα scr. M^{pc} | Χριστὸν] Θεὸν BP **1055** μετέβαλλε] μετέβαλε BP **1058** μὲν] μὲν supra lineam scr. V **1061** σοῦ δὲ] omnes codd.: ποῦ δὴ Ioannu

6. Laudatio s. Demetrii (BHG 543b)

Aufbau und Inhalt der Rede

1–32: Proömium. Der Grund des Verfassens der Rede wird genannt: Obwohl viele Menschen Lobreden auf den heiligen Demetrios geschrieben haben, hält es Kabasilas nicht für widersinnig, wenn auch er eine Lobrede schreibt und in dieser erwähnt, was er vom heiligen Demetrios bekommen hat. Das Streben und die Sehnsucht nach dem heiligen Demetrios haben ihn zum Schreiben der Rede geführt, im Gegensatz zu den anderen Autoren, die durch den Mut und den Erfolg des Schreibens zum Schreiben bewegt worden sind. Wichtig ist für Kabasilas auch, an die Tatsachen zu erinnern, die man vor Augen hat und die den Heiligen ehren. Er möchte im Weiteren über die Tugenden des heiligen Demetrios und nicht über sein Amt und seine körperliche Kraft sprechen.

33–53: Die Tugenden des Demetrios: Weisheit, Keuschheit, körperliche und seelische Reinheit. Er wägt seine Sinneswahrnehmungen besser als alle anderen ab, um sich dem leiblichen Verlangen nicht zu unterwerfen. Dadurch hat er seinen Körper zum Tempel des Heiligen Geistes gemacht.

54–66: Durch die Erhabenheit und Reinheit seiner Seele erwies er sich als ein Abbild Gottes. Bezüglich der Tugend der Keuschheit wird Demetrios mit Joseph und dem Evangelisten Johannes verglichen.

66–82: Er war gottgeliebt, weil er das göttliche Wort den Menschen mitgeteilt hat, und er nahm Rücksicht auf die Rettung der anderen Menschen, weil er wusste, dass ein Charakteristikum der Großen im Himmelreich ist, zum eigenen Wohl das Wohl der anderen zu verfolgen.

83–115: Er hatte die Gabe zu Predigen, er widmete sich Gott, indem er nur das Göttliche tat, sagte und dachte, und konnte ohne Christus und was mit ihm verbunden ist nicht leben.

116–126: Er war in jeder Hinsicht Freund und Jünger Christi.

127–144: Demetrios liebte Christus so sehr, dass er bereit war, alles für die anderen Menschen vertrauensvoll hinzugeben, sogar sein eigenes Leben, und war Abbild Christi, indem er das Leben und Opfer Christi nachahmte.

145–154: Demetrios hat seine Seele geläutert und gereinigt und sie darauf vorbereitet, den göttlichen Strahl zu empfangen.

155–174: Er schmückte sich mit den vielfältigen Gaben des Heiligen Geistes, und war mit all den Aspekten der Tugend versehen.

175–181: Er hat in sich selbst den ganzen Kreis der Heiligen aufgezeigt und ist in allen Dingen der beste von allen.

182–198: Epilog – Diese Rede ist zum Ende gekommen, über das Leben und die Worte von Demetrios zu sprechen wird jedoch kein Ende nehmen. Kabasilas bittet den Heiligen, von seiner Gnade zu künden und den Christen zu helfen, ihre Aufmerksamkeit nur auf Christus zu richten und sie zukünftig darauf vorzubereiten, das himmlische Gut zu empfangen.

1r 6. Προσφώνημα εἰς τὸν μέγα τοῦ Χριστοῦ μάρτυρα Δημήτριον τὸν μυροβλύτην.

Οὐδὲν οἶμαι τῶν ἀτόπων ὦ μαρτύρων ἀκρότης, εἰ πολλῶν καὶ μεγάλων ἐπαινεσάντων τὰ σὰ, καὶ ἡμεῖς, πρὸς τοὺς κατὰ σοῦ θορύβους καὶ κρότους ἡμᾶς αὐτοὺς καθήσομεν, οἱ μηδενὸς ἧττον τὰ σὰ καὶ πνέοντες καὶ θαυμάζοντες. Τοὐναντίον μὲν οὖν ἅπαν, τῶν ἀτόπων ἂν ἦν· ὅπου γὰρ καὶ τοῦ περὶ σέ μου τούτου μεμηνότος ἀπόντος, μόνον οἷς ὑπὲρ πάντας πᾶσιν ἀναφανεὶς, πάντας τῶν ἐπαίνων ὀφειλέτας ἔσχηκας, ἐχρῆν καὶ ἡμᾶς εἰς τουτονὶ τὸν ἆθλον ὅσα γ' ἐστὶ δυναμένοις εἰσφέρειν, πόσόν τι χρὴ νομίζειν τουτὶ μᾶλλον προυργιαίτερον εἶναι, σὺνἅμα γε τῷ κοινῷ δικαίῳ, καὶ τοῦ περὶ σέ μου πόθου, καὶ τῆς ἐκεῖθεν κατανάγκης παρούσης; Οὐ γὰρ ὅσον λέγειν τί ἢ ἀκούειν τῶν σῶν, ἢ καὶ μόνον μεμνῆσθαι, πάσης ἡδονῆς ἥδιον 1v ἔμοιγε καὶ ποθεινότερον χρῆσθαι, ἀλλὰ καὶ εἴ γε ἐξῆν, εἱλόμην ἂν ἀποσχέσθαι ἐμαυτοῦ μᾶλλον, ἢ σοῦ καὶ τῶν σῶν πραγμάτων· εἰς λήθην δήπουθεν ἥκειν. Καὶ τοίνυν, τοὺς μὲν ἄλλους ἅπαντας τοὺς εἰπόντας, τό, τε λόγων εὖ ἥκειν, τό, τε συνέσει θαρρεῖν, πρὸς τοὺς ὑπὲρ σοῦ διανέστησε λόγους, ἐμὲ δὲ, μόνον τὸ περὶ σέ μου τῆς ψυχῆς πάθος, ὦ πάντα τὰ βέλτιστα σὺ καὶ ὢν καὶ καλούμενος.

Τοῖς μὲν σοῖς ἐγκωμίοις ἐπιβαλοῦμεν, κατατυραννηθέντες ἐκεῖθεν. Ὅτι δέ σοι πολλῶν καὶ μεγάλων κατέστην ὑπόχρεως ὦ μυροβλύτα, οὐχ ὁρῶ τίς ἂν γενοίμην, μὴ τῶν Ὁμήρου στομάτων τετυχηκώς. Τοῖς μὲν οὖν ἄλλοις ἅπασι τοῖς εἰποῦσι, συνέσει, 2r καὶ λόγων ῥώμῃ μάλιστα ὑπερσχοῦσι, πρὸς πάντα τὰ τοῦ μεγάλου καθεῖναι σφᾶς αὐτοὺς ἐξεγένετο. Ἐμοὶ δὲ, μέγ' ἂν εἴη, καὶ λίαν ἀγαπητὸν, εἰ καὶ τῶν ἐν ὀφθαλμοῖς τρόπον τινὰ ὄντων, μνησθῆναι βραχέα γένοιτο, καὶ τούτων, ὅσα σὲ μέγιστ' ἀνθρώπων, μάλιστα τῶν ἄλλων σεμνύνει, καὶ πρὸ τῶν ἄλλων ἀνθρώπων τίθησιν, ἅτε πάντων ἀγαθῶν ὑπερέχοντα, καὶ σοὶ μάλιστα διαφερόντως προσόντα.

Τὸ μὲν γὰρ, τῆς τε περὶ τὸ σῶμα ῥώμης, καὶ τοῦ κατ' αὐτὴν γιγνομένου, καὶ τῶν ἐντεῦθεν στεφάνων, εἵνεκα λέγειν, καὶ ὡς κἀν τούτοις, ὑπὲρ πάντας ἀνεφάνη τοὺς ἄλλους, ὅτε καὶ τούτοις ἐχρῆν κεχρῆσθαι, μεγίστη τις ὠφέλεια πᾶσι καὶ ὢν καὶ δοκῶν, στρατηγίας· καὶ δημαγωγίας, καὶ τροπαίων εἵνεκα λέγω, καὶ τῆς ἄλλης φιλοτιμίας, περίεργον ἂν εἴη ἐν τῷ παρόντι, ὥς γε μοι φαίνεται. Ἃ δὲ μόνα, καὶ ἀνθρώπῳ μάλα πρὸς τρόπου, καὶ κεχαρισμένα θεῷ, καὶ μάλιστά γε τῶν ἄλλων ἁπάντων, τῇ καθαρωτάτῃ Δημητρίου ψυχῇ προσῆκε, καὶ ἰσόθεον ὡς εἰπεῖν, κατὰ τὸ

A

6, 30 ὡς – κατὰ] cf. e. g. Homer *Il.* (Allen 4.212) […] ὁ δ' ἐν μέσσοισι παρίστατο ἰσόθεος φώς,

---

6, 11 ἀποσχέσθαι] ἀποσχέσθαι supra lineam et verbum ἀ̣π̣ο̣σχέσθαι in margine add. A **14** συνέσει] σὺν δέει Laurdas | δὲ] post δὲ verba μόνος ὅ γε περὶ σέ μου μανικώτατος πόθος, καὶ τὸ μάλιστα τῶν ἄλλων ἁπάντων τὰ σὰ καὶ πνεῖν καὶ θαυμάζειν expunxit A^{p3c} | μόνον] verba τοσοῦτον τι expunxit et verbum μόνον supra lineam add. A^{p3c} **15** post καλούμενος verba Ὁ μὲν οὖν τοῦ λόγου λόγος, ὥς γε ἔφην, ὁ πόθος· καί γε εὔλογος, ὥς γε ἐγὼ νομίζω. expunxit A^{p3c} **16** μὲν] μὲν ex μέντοι A^{pc} **19** ὑπερσχοῦσι] ὑπερέχουσι Laurdas **21** ὄντων] om. Laurdas

ἔπος αὐτὸν ἀνέδειξε φῶτα, τούτων νῦν ἔσται μοι λόγος· καὶ τούτοις τὴν γλῶτταν 2v σεμνύνας, ἀποδώσω τὸν πόθον, οἷς γε ἔνεστιν.

Ὁ μὲν οὖν Σολομὼν, εἰς ἄκρον σοφίας ἐληλακὼς «εἶπον» φησὶ «τὴν σοφίαν, ἐμὴν ἀδελφὴν εἶναι, καὶ ἐφίλησα αὐτὴν·». Δημήτριος δὲ, ἡ μεγάλη τῆς φύσεως ἔνδειξις, καὶ τῶν ἀγαθῶν τελευταῖα φορὰ, καὶ ταύτης μὲν, οὐδὲν ἧττον ἐκείνου μετέσχεν, εἰ μὴ καὶ πολλῷ μειζόνως, ὅσῳ καὶ στόμα θεοῦ κατέστη, ἐξάγον ἄξιον ἐξ ἀναξίου, καὶ τῆς μὲν ἀσεβείας ἀπάγον, πρὸς δὲ τὴν πίστιν ἐνάγον, καὶ μυσταγωγῶν τὰ σωτήρια, οὗ τί μεῖζον ἢ σοφώτερον· ἢ ἁγιώτερον, γένοιτ᾽ ἂν; Πρὸ δέ γε ταύτης καὶ μετὰ ταύτης, ἐφίλησε μὲν παρθενίαν· ἐφίλησε δὲ ἁγνείαν, καὶ τὸ διὰ βίου παντὸς καθαίρεσθαι· ἐπείπερ, ὥσπερ ἑκάτερ᾽ ἀλλήλων ἔχονται· καὶ οὔτε σοφός τις ἂν εἴη, μὴ κεκαθαρμένος τοπρόσθεν· οὔτε κεκαθαρμένον ἔνι γενέσθαι, μὴ σοφὸν γενόμενον. Ἀνθ᾽ ὧν, ἑαυτοῦ τὸ σῶμα Δημήτριος, ἀπειλικρινημένον εὐθὺς ἐκ παιδὸς, καὶ καθαρώ- 3r τατον διατέλους τηρήσας, τὴν ψυχὴν ἀξίαν εὖ μάλα, τῆς ἀρρήτου καὶ ὑπὲρ λόγον παρεσκευάκει σοφίας, ᾗ φίλη μάλιστά γε τῶν ἄλλων ἁπάντων, ἡ κάθαρσις.

Οὐ γὰρ, ὥσπερ κατὰ τοὺς ἄλλους ἅπαντας σῶμα περικείμενος ἦν, οὕτω δήπου καὶ κατὰ τοὺς ἄλλους ἅπαντας, καὶ ταῖς ἐκεῖθεν ἀνάγκαις ὑπήγετο· ἀλλὰ τοσοῦτον ἀπεῖχε, τοῦ καὶ ὁπωσοῦν τουτωνὶ τῶν φυσικῶν ἡττᾶσθαι θεσμῶν, καὶ οὕτω καὶ τούτων μετὰ πολλοῦ τοῦ κρείττονος ὑπερέσχεν, ὥσπερ ἄρα καὶ ὁ πρὸ τῆς παραβάσεως ἄνθρωπος. Τὰς γὰρ αἰσθήσεις ῥυθμίσας κάλλιστα πάντων, ὡς μὴ ταῖς ἐπιθυμίαις ὑπάγεσθαι, μηδ᾽ ἀπᾴδειν ἔχειν τῷ λογισμῷ, τὴν ψυχὴν ἐξανάγκης, καθαρὰν τῶν οὐκ ἀγαθῶν ἀνέδειξεν ἐννοιῶν, καὶ συμπάσης ὑλικῆς προσπαθείας, κρείττω παρεσκεύασεν εἶναι. Κἀντεῦθεν αὖθις τὸ σῶμα, ἀπαθὲς καθάπαξ διέθηκε· καὶ δι᾽ ἀλλήλων ἄμφω καθάρας, νεὼν ἑαυτὸν ἀνέδειξε θεῖον, καὶ ὄργανον Πνεύματος. 3v

Μόνος γὰρ ὧν ἴσμεν, ἢ κομιδῇ γε ἐν ὀλίγοις, τὴν τῆς ψυχῆς εὐγένειαν, ἀκραιφνεστάτην διαβίου παντὸς τετήρηκε, καὶ τὸ κατ᾽ εἰκόνα σαφῶς ἐπεδείξατο. Μᾶλλον δὲ, εἰκὼν ἀνεφάνη Θεοῦ· σαφῶς ἐνδειξάμενος, ὁποῖον εἶναι χρὴ, κἀν τοῖς ἔργοις, τὸν ἀπὸ Χριστοῦ καλούμενον. Οἶμαι γάρ· εἴ τις ἐγένετό ποτε· ἢ γενήσεται, θεοῦ πρὸς ἀνθρώπους φιλοτιμία, ἢ ἀρχέτυπον καθαρότητος, ἢ κανὼν ἀκριβὴς ἀπαθείας, θεόθεν τοῖς ἀνθρώποις ἀναφανεὶς, τοῦτον οἶμαι τὸν μέγαν, καὶ τὴν ἐκείνου ψυχήν.

Τοσοῦτον σοι παρθενίας ἄγαλμα, τὸ τῆς καθαρότητος περιὸν· καὶ οὕτω πάντας τῷ ὑπερφυεῖ τῆς ἁγνείας, πρὸς ἔκπληξιν ἐνάγεις καὶ θαῦμα· καὶ δίδως ἐντεῦθεν, ὥσπερ καὶ δοκεῖν σου τὸ σῶμα, μὴ τῶν κάτω, τῶν δ᾽ οὐρανίων εἶναι σωμάτων, καὶ ὧν τὸ ἀπαθὲς ἴδιον· ὥστε ἔξεστιν εἰπεῖν, μὴ μόνον τὸν μέγιστον ἐπὶ σωφροσύνῃ 4r Ἰωσὴφ ἐκεῖνον, πολλῷ τῷ ὄντι τῇ παρθενίᾳ παρενεγκεῖν, ἀλλὰ καὶ μετὰ θεολόγον τὸν πάνυ, τῆς τῆς παρθενίας προσρήσεως ἠξιῶσθαι· καὶ μετ᾽ ἐκεῖνον, καὶ σὲ παρθένον καλεῖσθαι, μηδὲ τοῖς ἄλλοις ἐκείνου λειπόμενον. Ἐπεὶ καὶ μάλιστα τῶν ἄλλων

33–34 φησὶ – Δημήτριος] Prov. 7.4 εἶπον τὴν σοφίαν σὴν ἀδελφὴν εἶναι, τὴν δὲ φρόνησιν γνώριμον περιποίησαι σεαυτῷ || **53** νεὼν – θεῖον] 2 Cor. 6.16 ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος

---

47 θεσμῶν] cf. etiam 4.169, 4.218; δεσμῶν falso legit Laurdas **56** χρὴ] om. Laurdas **60** Τοσοῦτον] τοῦτον Laurdas

ἁπάντων θεοφιλὴς, οἷς ὑπὲρ πάντας τοὺς ἄλλους φιλῶν τὸν Χριστὸν, ἐναργέστατον δεῖγμα τῆς πρὸς αὐτὸν ἀγάπης ἐξήνεγκας, κατὰ τὸν θεῖον χρησμὸν. Ἐπεί γε τῶν λογικῶν αὐτοῦ θρεμμάτων, ὡς οὐκ οἶδ’ εἴ τις, μελεδωνὸς καὶ προστάτης κατέστης, καὶ τῆς εὐσεβείας σφίσι συναγωνιστὴς καὶ συλλήπτωρ, κάλλιστα πάντων· τοῖς ἀσεβέσι μὲν πολεμῶν καὶ λόγοις καὶ ἔργοις ἑκάστοτε· μετὰ δὲ τούτων ἱστάμενος· καὶ τὴν μὲν ἀχλὺν τὴν ἐπικειμένην σφίσι τῆς ἀσεβείας διέχων, τὸν δὲ τῆς δικαιοσύνης πᾶσιν ἐκλάμπων ἥλιον, καὶ διὰ τούτων ἁπάντων, κατασκευάζων τῷ Κυρίῳ λαὸν 4v περιούσιον. Ἤιδει γὰρ ἀκριβῶς, ὡς τὸ μὲν τῆς καθ’ αὑτὸν μόνης σωτηρίας ἀντιποιεῖσθαι, τῆς τῶν ἄλλων ἀλογοῦντα, τῶν σμικρῶν ὡς εἰπεῖν καὶ τῆς ἐλασσουμένης μερίδος· τὸ δὲ πρὸς τοῖς σφετέροις ἀγαθοῖς, καὶ τὰ ἑτέρων διώκειν, καὶ ὅπως εὖ ἔχοντες ὦσι τὰ πρὸς ἀρετὴν κἀκεῖνοι ζητεῖν, καὶ πρὸς τῷ ποιεῖν, καὶ διδάσκειν κατὰ τὸν θεῖον χρησμὸν, τῶν μεγάλων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, καὶ μέγα κτησαμένων ὄνομα. Ἀνθ’ ὧν ἑαυτὸν καθάπαξ, καὶ ὡς οὐκ οἶδ’ εἴ τις καθάρας, οὐκ ἀνεκτὸν ἡγεῖτο, οὐδὲ πρὸς αὐτοῦ, μέχρις αὐτοῦ στῆναι τὸ εὖ ποιεῖν· ἀλλὰ καὶ τοὺς ἄλλους ἐκάθηρε· καὶ πρὸς οὐρανὸν, τὸ γοῦν εἰς αὐτὸν, μεθίστη· πάντων τῶν γηΐνων ἀλογεῖν ἀναπείθων· ὡς μὴ μόνον μηδένων ὄντων, ἀλλὰ καὶ ὀλέθρων ἀτεχνῶς καθισταμένων ψυχῆς.

Καὶ τοίνυν ἐντεῦθεν, τοὺς πόδας μὲν, ἀποστολικούς τινας ἀπέδειξε καὶ ὡραίους, ὡς εὐαγγελιζομένους πᾶσιν εἰρήνην καὶ ἀγαθὰ· τὰς χεῖρας δὲ, ἡγνισμένας μὲν τοῖς 5r ὅλοις καὶ καθαρὰς, καὶ συμπάσης ὑλικῆς προσπαθείας κρείττους παντάπασι· τοῦ δὲ θείου βαπτίσματος καὶ τῆς ἐκεῖθεν ἁγιαστίας, ἧς αἴτιοι πᾶσι καθίσταντο, καὶ τῶν μεγάλων τουτωνὶ μυστηρίων, ἀξίους, ὡς μεταχειρίζωσι τὰ προσήκοντα· πρὸ δέ γε τούτων καὶ μετὰ τούτων, τὴν θαυμασίαν ἐκείνην γλῶσσαν, καὶ μόνῳ Χριστῷ κινουμένην, κάλαμον γραμματέως ὀξυγράφου, καὶ κιθάραν Πνεύματος, παντὸς μᾶλλον Ὀρφέως, θέλγουσαν καὶ κινοῦσαν ἐπὶ τὰ κρείττω, καὶ δι’ ὧν ἐπανελθεῖν περιγίνεται, πρὸς τὴν ἑστῶσαν καὶ μένουσαν εὔκλειαν. Οὕτω· πάντα τὰ μέλη, ὅπλα δικαιοσύνης παρεστήσατο τῷ Θεῷ, μόνῳ τούτῳ καὶ ζῶν καὶ κινούμενος, καὶ μηδὲν ἔξω τοῦ κατ’ αὐτὸν βουλομένου, οὔτ’ οὖν ἐννοῶν, οὔτ’ αὖ πράττειν ἐθέλων, ὥσπερ δημαγωγός τις ὢν ἐπὶ γῆς, τῶν θείων ἐπιταγμάτων, καὶ τοῖς ὅλοις θεῷ προσήκων· καὶ μόνα τὰ τούτου, καὶ πράττων αἰεὶ καὶ λέγων καὶ λογιζόμενος, καὶ τοῖς ἄλλοις

73–74 κατασκευάζων – περιούσιον] cf. e. g. 2 Mos. 19.5 καὶ νῦν ἐὰν ἀκοῇ ἀκούσητε τῆς ἐμῆς φωνῆς καὶ φυλάξητε τὴν διαθήκην μου, ἔσεσθέ μοι λαὸς περιούσιος ἀπό πάντων τῶν ἐθνῶν· [..]
74–79 τὸ – ὄνομα] Matth. 5.19 ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ’ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. || **83–84** τοὺς – εἰρήνην] allusio ad Eph. 6.15 καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης || **88–89** γλῶσσαν – ὀξυγράφου] Ps. 44.2 [...] ἡ γλῶσσα μου κάλαμος γραμματέως ὀξυγράφου. || **91–92** πάντα – Θεῷ] Rom. 6.13 [...] παραστήσατε ἑαυτοὺς τῷ Θεῷ ὡς ἐκ νεκρῶν ζῶντας καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ. || **92** μόνῳ – κινούμενος] Act. 17.28 ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν

---

68 κατὰ] κατὰ recte omisit Laurdas **74** αὐτὸν] ἑαυτὸν Laurdas **77** κἀκεῖνοι] κἀκεῖνα Laurdas **81** γοῦν] νοῦν scripsit Laurdas **87** μεταχειρίζωσι] μεταχειρίζουσι Laurdas

ὑποτιθέμενος. Ἄλλοις μὲν γὰρ, ἢ μισθοὺς προσδοκῶσιν, ἢ τὰς ἀπειλὰς δεδιόσι, τὸ 5v καλοῖς κἀγαθοῖς εἶναι περιγίνεται. Δημήτριος δὲ, πάνθ’ ὅσα ὑπὲρ Χριστοῦ, καὶ τῶν ἐπιταγμάτων ἐκείνου, καὶ ἐποίει καὶ ἔλεγε καὶ ἔπασχε, τοῦ πρὸς αὐτὸν ἔρωτος εἵνεκα μόνου· καὶ τοῦ πολλῶν καὶ μεγάλων δοκεῖν ὑπόχρεως ἐκείνῳ καθίστασθαι, καὶ ἐποίει καὶ ἔλεγε καὶ ἔπασχε· ὥστε μὴ μόνον τουτωνὶ τῶν ῥεόντων ἀλογῆσαι ἑλέσθαι, εἴ τι τῆς ἐκείνου δόξης, καὶ μικρὸν διΐστησιν, ἀλλὰ καὶ τῶν μελλόντων καὶ ἀρρήτων καὶ ὑπὲρ λόγον, κατὰ τὸν θεῖον ἀπόστολον.

Οὕτω γὰρ θεῷ καὶ τοῖς θείοις ἑάλω, καὶ οἷον ἔμπλεως κατέστη τῆς αὐτοῦ κατοχῆς, ὡς μὴ μόνον τἀκείνου μόνα, περὶ πλείονος ἄγειν τῶν ἄλλων ἁπάντων, καὶ προτιθέναι τοῖς ὅλοις, ἀλλὰ καὶ τὴν ψυχὴν αὐτὴν, ἐκχεῖν μετὰ ῥαστώνης ὑπὲρ τῶν ἐκείνῳ δοκούντων, καὶ τὴν κεφαλὴν ἑλέσθαι ἂν, ἀποθέσθαι μᾶλλον μεθ’ ἡδονῆς, ἢ τῆς ἐκείνου μνήμης καὶ τῶν ἐκείνου καὶ μικρὸν ἀποστῆναι. Καὶ σῶμα μὲν, δίχα ψυχῆς ἀναπνεῖν, ῥᾷον εἶναι, καὶ γενέσθαί ποτε· Δημήτριον δὲ, δίχα Χριστοῦ, καὶ τῶν 6r ἐκείνου λόγων καὶ ἔργων, καὶ τοῦ κατ’ ἀμφότερα γινομένου, οὐδ’ ἄν τις ἂν ἔφη ζῆν καὶ περιεῖναι τῷ βίῳ. Ἐπεὶ καὶ ψυχή τις ἦν τῷ Δημητρίῳ Χριστὸς, οὐκ ἀφισταμένη, καὶ πάλιν ἐπανιοῦσα, κατὰ τὴν ἐν μύθῳ δήπουθεν Ἑρμοτίμου· τοῦ Κλαζομενίου ψυχὴν· ἀλλ’ αἰεὶ συνοῦσα· καὶ μένος θεῖον ἐμπνέουσα· καὶ τὰ μεγάλα τελοῦσα, καὶ οἷα εἰκὸς τοῦτον κἀκεῖνον, τὸν μὲν τελεῖν, Δημήτριον δὲ τελεῖσθαι· ὡς ἐντεῦθεν ἐξανάγκης συμβαίνειν, ἐν ἑκατέρῳ μένειν ἑκάτερον, ἔν τε τῷ θεῷ Δημήτριον, καὶ τὸν θεὸν ἐν αὐτῷ, οὐκ ἀφισταμένους ἀλλήλων, κατὰ Ἰωάννην τὸν πάνυ.

Τίς γὰρ ἐκείνου μᾶλλον προσῆκε Χριστῷ, ἢ ταῖς ὑπὲρ οὐρανὸν ἐκείνου καθαρότησιν ἔπρεπεν· ὅς γε οὕτως ἑαυτὸν καθάρας, ὡς ἀξιόχρεως ἐκείνου διὰ πάντων φανῆναι, ὁ δὲ, τοσοῦτον καὶ τῶν ἄλλων ποιησάμενος λόγον, ὡς σωτηρία κοινή τις κατ’ ἐκεῖνον γενέσθαι, καὶ λόγοις καὶ ἔργοις καὶ τῷ καθ’ αὐτὸν παραδείγματι· ἔπειτά 6v γ’ ἐπὶ πᾶσι τούτοις· τὸν Χριστοῦ φίλον καὶ παῖδα διὰ πάντων δεικνὺς, μὴ μόνον ὑπὲρ ἐκείνου πέπονθε καθάπερ ἐκεῖνος ὑπὲρ αὐτοῦ· καὶ τὴν ψυχὴν ἡδέως προήκατο τὴν αὐτοῦ, πρὸς ἐκεῖνον καὶ τὰ ἐκείνου πάντα ὁρῶν, ἀλλὰ καὶ κατ’ αὐτὸν τοῦτον τοῖς ὅλοις τὸ αἷμα ἐξέχεε, καὶ τῶν αὐτῶν ἐκείνῳ μελῶν πληγέντων, εἰ καὶ μείζονος οὗτος τῆς πληγῆς ἐπειράθη, ὡς ἂν ὡς ἔγωγε οἶμαι, οὕτω τοι πάνυ τοι πρὸς Χριστὸν ἐρωτικῶς ἔχων, πολλῷ μειζόνος ἐντεῦθεν διπλασιάσῃ τὸ φίλτρον, μείζω καὶ τῶν ἐκείνου ποιήσας, κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος ἐπαγγελίαν;

98–102 ἐποίει – ἀπόστολον] allusio ad Rom. 8.18 Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. || **110–112** οὐκ – ψυχὴν] allusio ad Apollon. Paradoxogr., *Histor. mirabil.* (Giannini 3.1–4) || **114–115** ἐν – πάνυ] allusio ad Joh. 6.56 ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. || **125–126** πολλῷ – ἐπαγγελίαν] Joh. 14.12 ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει

---

96 μισθοὺς] μισθὸν Laurdas **99–100** καὶ[3] – ἔπασχε] an καὶ … ἔπασχε delendum? **102** λόγον] λόγον ex λόγων scr. A^{pc} **103** θεῷ – θείοις] θεῷ καὶ τοῖς θείοις ex θεοῦ καὶ τῶν θείων scr. A^{pc} **105** αὐτὴν] αὐτοῦ Laurdas **119** αὐτὸν] ἑαυτὸν Laurdas

Ἀλλὰ τοῦτο μέντοι τοιοῦτον, καὶ οὕτω χάριεν καὶ ὑπερφυὲς, καὶ τῆς μεγίστης πρὸς Χριστὸν γνησιότητος δεῖγμα. Ἐκεῖνο δὲ, πῶς οὐχὶ τῶν ἴσων, καὶ τοῦ αὐτοῦ φασι γυμνασίου, καὶ μηδενὶ τοῦ πρὸ αὐτοῦ λειπόμενον, ὧν γε ἔφην εἵνεκα; Χριστῷ μὲν γὰρ, μύρον τὸ πρόσρημα· «μύρον» γάρ φησιν «ἐκκενωθὲν ὄνομά σοι». Δημητρίῳ δὲ,
7r τοῦ Χριστοῦ ζῶντος ἐν αὐτῷ, οὐ μόνον μύρον τὸ πρόσρημα, ἀλλὰ καὶ μύρον ἐστὶν ἀτεχνῶς, καὶ μύρων πηγὴ, ἀένναα ῥέουσα· ὥστε τὸν οὕτω μὲν ὑπὲρ πάντας καὶ φιλοῦντα Χριστὸν· καὶ φιλούμενον, οὕτω δὲ, ἑαυτὸν παρεσκευακότα, ὡς μὴ μόνον, καὶ πλοῦτον καὶ δόξαν καὶ τὰ παρόντα ταυτὶ, ἀλλὰ καὶ τὰ μέλλοντα, καὶ τὴν ψυχὴν αὐτὴν, ἑτοίμως ἔχειν προέσθαι ὑπὲρ τῶν ἐκείνῳ δοκούντων, διὰ πάντων καθάπαξ καὶ λόγων καὶ ἔργων καὶ προσρημάτων προσήκειν ἔχειν Χριστῷ· καὶ τοῖς ἅπασι κοινωνεῖν εἰκότως καὶ μάλα ἀξίως, τοῦ τε Δημητρίου πρὸς θεὸν ὃν ὤδινε πόθου, τοῦ τε πρὸς αὐτὸν αὐτοῦ διακειμένου καὶ ἵλεω.

Παρὰ πάντα δὲ ταῦτα, ἐκεῖνο λέγω· ὡς ὅ, γε τῆς εὐσεβείας εἵνεκα· καὶ τῆς τῶν ἄλλων σωτηρίας· καὶ οἷς πρὸς τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας τοὺς μάρτυρας ἤλειφε, καὶ νικητὰς ἀνεδείκνυ, τὸ αἷμα ἐκχέας καὶ τὴν ψυχὴν προέμενος, πῶς οὐχ ὃ λέγω δῆλον καθίστησι· καὶ μάλα σαφῶς βεβαιοῖ, ὡς τὸν Χριστὸν ὑπὲρ πάντας, καὶ τὰ ἐκείνου πάντα, καὶ ἔπνει καὶ ἐμιμεῖτο, ἀκριβεστάτην εἰκόνα ἑαυτὸν ἀναδείξας
7v ἐκείνου, καὶ μάλ᾽ ἀξιόχρεων, τῆς θείας καὶ ἀρρήτου δόξης καὶ καθαρότητος;

Οὕτως ὦ θεία καὶ ἱερὰ κεφαλὴ διὰ πάντων τῶν βελτίστων ὑπὲρ πάντας ἐξέλαμψας· καὶ ἃ τοῖς ἄλλοις ἰδίᾳ κόσμος καθέστηκε, ταῦτα πάντα μόνος καὶ μεθ᾽ ὑπερβολῆς, ἐν σεαυτῷ συνειλόχεις· εἰκότως· τὴν γὰρ ψυχὴν ἀπειλικρινημένην καὶ καθαρωτάτην παρασκευάσας καὶ διαυγῆ, καὶ μάλα γε ἑτοίμως ἔχουσαν πρὸς τὴν τῆς θείας ἀκτῖνος ὑποδοχὴν, πάντων ἐξ ἀνάγκης ἀνεφάνης τῶν ἐκεῖθεν ἀγαθῶν πρυτανεῖον. Καὶ ἃ φύσει πρόσεστι τῷ θεῷ, ταῦτα κατὰ χάριν αὐτὸς ἐδέξω, καὶ δεύτερον φῶς ὥσπερ ἀνίσχεις, ταῖς τοῦ πρώτου φωτὸς ἐλλάμψεσι. Δῆλον δὲ· ἁπάντων μὲν οὖν ὅσοι τῆς περὶ θεὸν ἑταιρείας, τοῖς μὲν, ἀποστόλοις· τοῖς δὲ διδασκάλοις· τοῖς δὲ προφήταις· τοῖς δὲ μάρτυσι τὰ προσρήματα· σοῦ δὲ πέρι, οὐκ ἔστιν εἰπεῖν, ποῖάν τινα τὴν δόξαν ἑκτέον, καὶ τί σε δεῖ προσειπεῖν.

Σοὶ γὰρ ταῦτα πάντα μόνῳ προσήκει· καὶ ὥσπερ παντοδαπός τις ἅγιος εἶ, ταῖς
8r παντοδαπαῖς τοῦ Πνεύματος κοσμούμενος χάρισι, καὶ ἐκ πάντων τῶν τῆς ἀρετῆς μορίων συγκεκραμμένος. Καὶ γὰρ τὸ μέλλον προεῖπες· καὶ τὴν διττὴν νίκην τῷ Νέστορι καὶ τοὺς στεφάνους εὐηγγελίσω· καὶ μάρτυς· καὶ τῶν θείων πραγμάτων ἀθλητὴς ὑπὲρ πάντας ἀνεφάνης τοὺς ἄλλους· τοσοῦτο μείζων τῶν ἄλλων τούτῳ τῷ

128–129 τοῦ – γυμνασίου] cf. e. g. Plat. *Gorg.* (Burnet 493, d.5–6) Φέρε δή, ἄλλην σοι εἰκόνα λέγω ἐκ τοῦ αὐτοῦ γυμνασίου τῇ νῦν. || **130** μύρον[2] – σοι] Septuaginta, *Canticum* 1.3.2. καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα, μύρον ἐκκενωθὲν ὄνομά σου.

129 πρὸ αὐτοῦ] πρὸς αὐτὸν Laurdas **130** σοι] σου Laurdas **139** ὅ] εἰ Laurdas **150** ἃ] ἃ ex ὃ scripsit A^{p3c} | θεῷ] post θεῷ verbum ἀγαθὸν erasit A | ταῦτα] ταῦτα ex τοῦτο scripsit A^{p3c} **151** ὅσοι] an ὅσοις scribendum? **153** πέρι] post πέρι verba οὐκ ἔστιν εἰπεῖν supra lineam add. A^{pc} | τὴν] om. Laurdas **157** προεῖπες] προεῖπας Laurdas **159** τοσοῦτο] τοσούτῳ Laurdas

μέρει, ὅσο καὶ μειζόνων ἢ κατὰ τοὺς ἄλλους, τῶν τοῦ Πνεύματος χαρισμάτων τετύχηκας· μᾶλλον δὲ, ὅσῳ καὶ μαρτύρων ἀνεφάνης, συναγωνιστὴς καὶ συσπουδαστὴς καὶ συλλήπτωρ· καὶ τῶν στεφάνων καὶ τῆς νίκης σφίσιν αἰτιώτατος. Ἀλλὰ μὴν, ὅτι καὶ διδάσκαλος καὶ ἀπόστολος, ἴσασι πάντες οἱ τοῖς λόγοις τοῖς σοῖς σεσωσμένοι, καὶ τῷ θείῳ προσελθόντες βαπτίσματι, θυσίαν διὰ σοῦ τῷ Χριστῷ προσενηνοχότες αὐτοὺς. Οὕτω τὸν τῶν ἁγίων σύμπαντα κύκλον ἐν σεαυτῷ δεικνὺς ἔχεις· καὶ πάντα τὰ πάντων, μόνος καὶ μεθ’ ὑπερβολῆς συλλαβὼν καὶ κοσμήσας, πάντα πάντων ἄριστος εἶ. Καὶ μὴν· εἰ καὶ τὸ μεθ’ ὑπερβολῆς πάντα τὰ κάλλιστα ἔχειν ἀπῆν, τοῦτο δ’ αὐτὸ μόνον ἁπλῶς, τὸ μόνον πάντα δήπουθεν ἔχειν παρῆν, τοσαύτην ἀπὸ μόνου 8v
τούτου δόξαν ἔμελλες ἴσχειν, ὅσην ἅπαντες κέκτηνται. Ὅταν δὲ συνἆμα γε τούτῳ κακεῖνο προσῇ, πῶς οὐχὶ πᾶσαν ἐπαίνων ὑπερβολὴν ὑπερβαίνεις· καὶ μόνος τῶν πάντων ἀξιώτατος εἶ, μὴ μόνον κεφάλαιον καλοκαγαθίας, καὶ συμπάσης ἀρετῆς πρυτανεῖον, καὶ θεοῦ πρὸς ἀνθρώπους φιλοτιμία, καὶ πάντα ταυτὶ τὰ κάλλιστα προσειρῆσθαι, ἀλλὰ καὶ υἱὸς ὑψίστου, καὶ Τριάδος ἑστία, καὶ καθαρὸν τοῦ καθαροῦ Πνεύματος ὄργανον, καὶ εἰκὼν θεοῦ, καὶ θεὸς;

Ἀλλ’ ὦ πάντα τὰ βέλτιστα, καὶ ὢν αὐτὸς καὶ δοκῶν, καὶ καλούμενος· ὦ παρθενίας ἄγαλμα· καὶ θαῦμα μαρτύρων· καὶ συμπάσης ἄλλης τῆς περὶ θεὸν ἑταιρείας· καὶ ἵνα συνελὼν εἴπω, ὦ παντοδαπὸν ἀγαθὸν, καὶ διὰ πάντων βέλτιστε πάντων. Σὺ μὲν οὕτως ἔχων, χαίροις, καὶ συγχαίροις σαὐτῷ, ὡς σοὶ μάλιστα τῶν ἄλλων διαφερόντως τὸ χαίρειν προσήκει, ἅτε καὶ μάλιστα τῶν ἄλλων διαφερόντως τῇ καθαρωτάτῃ Τριάδι προσήκοντι, καὶ τῆς ἐκεῖθεν ἀρρήτου δόξης, ὑπὲρ πάντας τοὺς ἄλλους 9r
ἐπιτυχεῖ καταστάντι, ἅθ’ ὑπὲρ πάντας τοὺς ἄλλους, ταύτης ὑπερασπιστῇ γεγονότι.

Ἐμοὶ δὲ, ὁ μὲν παρὼν λόγος, ἐν ἐπιλόγοις. Τὸ δέ γ’ ὑπὲρ σοῦ λέγειν, καὶ γλώττης τρυφὴν ποιεῖσθαι τὰ σὰ, οὐκ ἐν ἐπιλόγοις ἔσται ποτὲ· ἀλλ’ ἕως ἂν εἰς ζῶντας τελῶ, καὶ τῶν ὑπὲρ σοῦ λόγων ἔσται μοι λόγος, ὡς μόνην ταύτην οὖσαν εὐδαίμονα βιοτὴν· οὐ γὰρ τοσοῦτον ἐπιλήσομαι ἐμαυτοῦ. Μᾶλλον δὲ, εἰ καὶ τοῦτο γε εἰπεῖν δεῖ, ἐμαυτοῦ μὲν ἂν ἐπιλαθοίμην, εἴπερ οἷον τε· καὶ εἱλόμην ἂν τοῦτο γε, εἴπερ αἵρεσις προύκειτο· σοῦ δὲ, καὶ τῶν σῶν, οὐδέποτ’ ἂν ἀποσχοίμην. Ἅπαξ γάρ τοι, σοῦ καὶ τῶν σῶν ἡττηθεὶς, καὶ τούτων ἤδη καθάπαξ ἐξηρτημένος, οὐκ ἂν δυναίμην, – οὐδ’ εἰ καὶ σφόδρ’ ἂν βουλοίμην, – εἰς λήθην ἥκειν, ὧν οὐδὲν ἔμοιγε, οὔθ’ ἥδιον· οὔτε φίλτερον· οὔτε ποθεινότερον, χρῆσθαι.

Σὺ δὲ θεία μοι καὶ ἱερὰ καὶ τριπόθητε κεφαλὴ, ὃν ἔγωγε πρὸ πάντων ἔχω καὶ 9v
πεφιληκὼς καὶ θαυμάσας, κἀνταῦθα μὲν, εἰ καὶ μεῖζον ἢ καθ’ ἡμᾶς, κοινωνοὺς ἡμᾶς τῆς σῆς ἀναδείξαις χάριτος, συνὼν αἰεὶ καὶ περιέπων, καὶ τὸ τῆς ψυχῆς ὁρμώμενον, πρὸς τὸ βέλτιον ἀπευθύνων, καὶ μόνῳ Χριστῷ, τὸν νοῦν προσέχειν παρασκευάζων, καὶ διὰ πάντων, συναιρόμενος τὰ γιγνόμενα. Ἐπὶ δὲ τοῦ μέλλοντος, τῶν οὐρανίων

160 ὅσο] ὅσῳ Laurdas | μειζόνων] an μειζόνως scribendum? **162** καὶ[2] – αἰτιώτατος] in marg. inferiore add. Apc **168–169** ἀπὸ – τούτου] verba ἐξ ἄρα τούτου μόνου del. et ἀπὸ μόνου τούτου add. Ap3c **186** εἴπερ αἵρεσις] εἰ προαίρεσις Laurdas **188** οὐδ’] om. Laurdas **191** καὶ ἱερὰ] verba καὶ ἱερὰ supra lineam add. Apc **193** τῆς[1] – χάριτος] verba τῆς σῆς ἀναδείξαις χάριτος ex τῶν σῶν ἀναδείξαις χαρίτων scr. Apc

ἀγαθῶν, καὶ μάλιστα σοὶ διαφερόντων, ἐπιτυχεῖς γεγενῆσθαι παρασκευάσαις: χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

196 χάριτι] verbum τῇ ante χάριτι expunxit A^{pc} **197** καὶ φιλανθρωπίᾳ] verba καὶ φιλανθρωπίᾳ supra lineam add. A^{pc}

7. Laudatio s. Demetrii (BHG 543k)

Aufbau und Inhalt der Verse

1–28: Nach dem Tod des Demetrios wird ihm Ruhm vom Himmel verliehen und er wird unter den Irdischen bekannt gemacht.

28–42: Lupos, der Diener des Demetrios, erleidet Kummer, als er seinen Herrn unter dem Martyrium leiden sieht.

42–59: Klagerede des Lupos.

60–80: Lupos nimmt das Oberkleid und den Ring des Märtyrers, hilft damit kranken Menschen geheilt zu werden und befreit von Dämonen besessene Menschen.

80–121: Der Kaiser führt Lupos zum Tod mit dem Ziel, den unsterblichen Ruhm des Herrn von der Erde zu tilgen, aber vergeblich.

122–156: Die Geschichte des Leontios, dessen Krankheit die Ärzte für unheilbar hielten. Leontios geht zum Grab von Demetrios und fleht ihn an, ihn zu heilen.

157–161: Das Gebet des Leontios über dem Grab des Demetrios.

162–177: Leontios wird geheilt und erstattet Demetrios Dank, indem er eine Kirche um sein Grab herum errichtet. Er möchte auch den Leichnam des Demetrios herausnehmen und dort einen Altar errichten. Demetrios aber verbietet es, indem er Leontios im Traum erscheint.

178–202: Leontios ist auf dem Weg in sein Heimatland. Der Fluss erhebt sich hoch und Leontios kann ihn nicht überqueren. Demetrios erscheint ihm in einem Traum und befiehlt ihm, den Fluss mit seinen Pferden zu überqueren. Als Leontios den Fluss überquert, fließt der Fluss ruhig wie Öl.

203–209: Leontios errichtet eine Kirche in seinem Heimatland, um Demetrios Dank zu erstatten. Das Ende des Gedichts scheint unvollendet zu sein.

7. Εἰς τὸν πανάγιον Δημήτριον καὶ τὰ αὐτοῦ θαύματα·

Ψυχὴν μὲν Δημητρίου, δέξατο οὐρανὸς εὐρύς
σεμνὴν καγχαλόωσαν, ἵνα μακάρεσσι μετείῃ·
ἀγγέλοις αἰγλήεσιν οἷς οὐκ ἔπλετο σῶμα,
καὶ ἑτάροισι θεοῦ ἄλλοις, οἳ χθονὸς ἐκγεγάασιν,
οὕνεκα φίλεεν οὐδενὸς ἧττον παμβασιλῆα·
καί μιν οἱ ἔπι χρειὼ παρεῖναι τε ὁράαν τε
κυδαίνειν τε. Τό· γὰρ ἆθλον ἔπλετ' ἀρίστων·
αὐτὰρ ὅ γ' ἥρως, ἦμος λίπε ἑ θυμὸς ἀμύμων,
γαῖα δέδεκτο, κόνις δ' ἐκάλυψεν αἱματόεσσα,
αὖθι παραὶ λοετρὸν ὅθι οὔτασαν ἔγχεα μακρὰ,
πολλὰ δ' ἔην, καὶ ἀθέσφατον ἁγνοῦ χροὸς εἴρυσεν
αἷμα, ὠτειλῶν ἀπὸ θεσπεσιάων· ἶσον,
τοι ποταμοῖο ῥοῇσι, δεῦσε δὲ πάμπολυ γαῖαν,
τόφρα νυ κυδαίνετο ἔργμασιν αἰνεσίμοισιν,
δόξα δ' οἱ οὐρανὸν ἶκεν ὑποχθονίῳ περ ἐόντι·
χθὼν δ' οὐκ εἶργεν. Ἤγηλε γὰρ ὀλύμπιος αὐτός·
ὡς δέ κεν ἀκτῖνας φαεσιμβρότους ἠελίοιο,
ἦμος ἀντολίηφι φαείνῃ οὔ τι ἔεργοι
κόσμοιο προτι πείρατ' ἐλαύνειν ὦκα δὲ ἧκεν
εἰς μὲν οὐρανὸν· εἰς δὲ γαῖαν ἰδ' ἰχθυόεσσαν
ἀμφιτρίτην, λάμπει δέ τε ποταμῶν βαθυδίνων
καλὰ ῥέεθρα ἠὼς δὲ ἅμα πάντα καλύπτει,
τοῖον τοι Δημητρίῳ ἀντιθέῳ κλέος εὐρὺ
Χριστὸς ὀλύμπιος ὤπασεν, ἔκ τε δὲ δῆλον ἔθηκε
βροτοῖς ἐπιχθονίοισιν, ὄφρα μετὰ πᾶσι φαείνῃ
ἠύτε σείλας ἠελίοιο σεληναίῃ, καὶ,
οὐρανοῦ τείρεσιν ἄλλοις. Πρῶτα δὲ Λοῦπον ὄτρυνε,
μαρτύρῳ ἧς βασιλείης κῦδος ἐγεῖραι· Λοῦπον,
ὃς θεράπων μὲν ἔην Δημητρίου κυδαλίμοιο,
καὶ ἐφίλει μάκαρ ἔξοχον ἄλλων, αὐτὰρ Χριστοῦ
διὰ φίλτρα, καὶ ὃ φίλον προτιήκατο θυμὸν·
ὅς γε φίλον ἴφθιμον ἑταῖρον ἐπεί κεν ἐσεῖδεν

B M

7, 9 γ' – λίπε] cf. e. g. Hom. *Il.* (Allen 12.386) κάππεσ' ἀφ' ὑψηλοῦ πύργου, λίπε δ' ὀστέα θυμός. **9–10** ἀμύμων – κόνις] cf. e. g. Hom. *Il.* (Allen 13.393) βεβρυχώς, κόνιος δεδραγμένος αἱματοέσσης. **18–19** δέ – ἦμος] cf. e. g. Theog. *Elegiae* (Young 1.1183) […] αὐγαὶ φαεσιμβρότου ἠελίοιο;

7, 1 Εἰς – θαύματα] M: Εἰς…θαύματα, ἡρωικὰ B **2** δέξατο] ἐδέξατο B **5** ἄλλοις] MB: θεοῖς Pseutonkas **7** ὁράαν] ὁρᾶν B **19** ἔεργοι] εἴργοι Pseutonkas **31** αὐτὰρ] scripsi: ἄλλον MB

ὀφθαλμοῖς, αἰχμητάων ὑπὸ χερσὶ δαμέντα,
χάριν μὲν βασιλῆι αὐτῷ δὲ πένθος ἄλαστον,
καὶ ἄλλοις κεδνοῖς ἑτάροισι παρὰ γὰρ ἦν οἱ
τόφρα οἶος ἀπ' ἄλλων, ᾤμωξε μὲν πρῶτον,
σιγῇ ἀκὴν στοναχίζων ἀχνύμενος περὶ κῆρι·
πολλὰ δὲ δάκρυα χεύων, δακρυόεντα ἔειπε μῦθον
ἐς φίλον εἰσορόων. Ὑποπάλλετο δ' ἔνδον·
ὑπὸ στέρνα φίλη κραδίη, ὄσσε δὲ ἀχλὺς
εἶχε τέκος ἄχεος στυγεροῖο. «Ὤμοι κύδιστε·
Εὖ μέν νυ οἶδα τὸ· φίλος ὦ Δημήτριε, ὥς ῥα
σεῖο θυμὸς ἀμύμων, ἀσπέτῳ κύδει λάμπων,
Οὔλυμπὸν δε βεβήκει, εὐχωλὴ μὲν ἑταίροις
οὐρανίωσιν, χάρμα δὲ Χριστῷ βασιλῆι
εὖ νύ τοι οἶδα τὸ, καὶ οὔ με λέληθεν ἥρως.
Αὐτὰρ ἐγώ νυ σὸν οἶτον νῦν ὀλοφύρομαι δάκρυ
χεύων, ἄχος δέ μοι κραδίην καὶ θυμὸν εἷλεν,
ἄτης εἵνεκ' ἐμοῖο, ὅτε τοι σεῦ ἀπάνευθεν
ἦμαρ ὄψομαι ὀφθαλμοῖσι δακρυόεσσιν
οὔ τοι κατ' αἶσαν. Καί τε εὐσεβέων ἄλλων, οἷσιν
ἔπλευ ἕρκος ἄριστε· οὓς σέο νοσφισθέντας,
δείδια, μή τις τοι δηλημόνων ἠπεροπεύσῃ·
ἠὲ καὶ μύθοις μειλιχίοισιν, ἠὲ καὶ δώροις
αἰνεσίμοισι παρειπὼν, ἐκ δέ τε παμβασιλῆος,
τρέψειε φρένας ἐσθλὰ νοεῦσας, ἠύτε δοῦλοι
νηλεῖς, δεσποτῶν ὀρφανοῖς υἱέεσσιν ἐπιόντες·»
ὣς φάτο Λοῦπος δακρυχέων· ἐπὶ δὲ στονάχιζε.
Αὐτὰρ ἔπειθ' ἁγνοῦ χρωτὸς, ἐκ μὲν χλαῖναν ἕλε καλὴν·
φοινικόεσσαν· τὴν ἔνδυνε περὶ δίοισιν
ὤμοισι Δημήτριος Θεῷ φίλος θεοειδὴς·
ἐκ δὲ σφενδόνην ἥ οἱ δακτύλωφι ἠρήρει
χρυσῆν ἀργυρόεντι· Λοῦπος οἱ ἄριστος ἑταίρων.
Αὐτὰρ ἐνὶ χλαίνηφι, χεύσατο αἷμα κελαινὸν
καλὸν ἁγνότατον, τῷ, καὶ δακτύλιόν νυ μιήνας·
τῶν δ' ἄρα τοι διὰ Λοῦπος ἀμύμων· δακτυλίοιο,
ἠμὲν εὐκύκλου ἰδὲ χλαίνης αἱματοέσσης,

49 ἄχος – εἷλεν] cf. e. g. Hom. *Il.* (Allen 8.147) [...] αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει· || **60–62** ἐκ – ὤμοισι] cf. e. g. Hom. *Od.* (Ludwich 21.118–119) [...] ἀπ' ὤμοιιν χλαῖναν θέτο φοινικόεσσαν / ὀρθὸς ἀναΐξας, ἀπὸ δὲ ξίφος ὀξὺ θέτ' ὤμων.

35 αὐτῷ] αὐτῷ M **40** ἐς] εἰς Pseutonkas **42** τέκος] τέκεος B **46** οὐρανίωσιν] οὐρανίωσι B **52** οἷσιν] MB: οἷσεν Pseutonkas **55** ἠὲ[1]] ἠὴ B **67** δακτυλίοιο] scripsi: δακτυλίοιοι BM **68** ἰδὲ] BM: ἠδὲ Pseutonkas

πολλέας αἰνῶν γε πολλάων ἔλυσεν ὀδυνάων·
νούσων τε στυγερῶν μετ’ ἀμύμονας ἰητῆρας,
πεπνυμένα δέ τε μήδεα τέχνης δαιμονίης τε
χειρὸς ἀναιδέος λυγρῶν δεσμῶν ἀργαλέων τε.
Τοῖον γὰρ σθένος οἷσιν ὤπασεν οὐκ ἀλαπαδνὸν
Χριστὸς τίων ὀλύμπιος, μάρτυρος ἧς βασιλείης·
ὄφρα καὶ κατθανέοντος, μνημοσύνη κῦδος τε
πᾶσι μετ’ ἀνθρώποισι λίπηται· οὔνομα δέ τε,
μέγα καὶ ἐσθλὸν ᾗ Δημητρίου κυδαλίμοιο,
τῷ, καὶ ᾔνεόν μιν, υἷες σύμπαντες Ἀχαιῶν·
Θετταλοὶ Μακεδόνες τε· ἰδ’ Εὐρωπαῖοι Ἀχαιοὶ
ἄλλοι. Μόνος δ’ Ἑρκούλιος εὐρυκρείων, οὔ τοι
σευάσατο περὶ θυμῷ· χόλος δέ μιν εἷλε
χάλκεον ἦτορ· φράζετο δὲ τίσασθαι Λοῦπον,
καὶ ἀπο θυμὸν φίλον ἐλέσθαι, δαιμόνων ἄτης
οὓς γουνάζετο, καὶ Χριστοῖο εἵνεκα τιμῆς·
μήδεα μητιόων γε ὀλωῆσιν ἐνὶ φρεσσὶν,
ὧν οὐ τελείετο ἔργα. Μήδετο γὰρ ἀφραδίησιν,
ἀθανάτου βασιλῆος γαίης ἀπὸ κῦδος
ἐλάσαι, καὶ ἀτίμητον καὶ ἀκλεᾶ θεῖναι,
θνητοῖσι μετ’ ἐπιχθονίοισιν, υἷα ἄνακτος
οὐρανίωνος ὑψιβρεμέτου αἰὲν ἐόντος·
νήπιος· οὐδὲ ἐκεῖνο μητίσατο κατὰ θυμὸν,
οἵη βίη τε Θεοῦ, καὶ ἀκιδνοτάτων ἀνθρώπων·
τῷ τοι, καὶ Λοῦπον, ὁ μὲν ἕλ’ ὑποδρηστῆρα τεράων,
καλοῖν ὤμοιιν, δίαν κεφαλὴν ἀποτμήξας·
τῷ σχήσειν ὁΐων Δημητρίῳ ἠπιοδώρῳ
καινὰ ἔργα, τῶν κλέος ἄσπετον ἐξωρίνθη·
ὁ δὲ ζωοῖσι καὶ ᾠχομένοισιν ἀνάσσων,
ψυχὴν μὲν δέκτο θεράποντος, πρόφρων, καλὴν
παμφανόωσαν· τιμαῖς τίων· ἃς ἐπέοικε
τὸν τῖσαι τε ἄνακτα, λαβεῖν τε ἀμύμονα Λοῦπον·
κῦδος δὲ Δημητρίῳ, μεῖζον ἐξεφάνανεν
ἀθάνατος ἠὲ πάρος, ὄφρα οὐ μήσατο βουλὴν
ἄφρονα πικρὴν, ὅ γ’ Ἑρκούλιος εὐρυκρείων·
ὡς δ’ ὅτέ τις τε λέοντι κατ’ οὔρεσιν εἰνὶ κύρσας,
τόξων ἐπιστάμενος, οὔ τοι χάζετ’ ὀπίσω τλῆ δὲ
ἀντίβιον θηρός περ ἑλκέμεναι καμπύλα

82 χάλκεον ἦτορ] cf. e. g. Hom. *Il.* (Allen 2.490) φωνὴ δ’ ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη,

74 μάρτυρος] μαρτύρον MB, μάρτυρον Pseutonkas: correxi **93** τεράων] τεράτων Pseutonkas

τόξα· βάλε δέ μιν οὔ τοι καίριον· καὶ ῥὰ τὸν μὲν,
οὐ κατέπεφνε· μένος δ’ ἐνὶ τοί οἱ ἄαπτον ἧκεν.
Αὐτὰρ ὅ γ’ ὤρνυται κατὰ ὕλην πυρὶ ἐοικὼς
στέρνα δ’ ὑπο κραδίηφι πατάσσει δεινὸν ἀΰει
χωόμενος βέλει πικρῷ· ἱδρὼς δὲ δεύει
φαίδιμα γυῖα παπταίνων τι δήϊον ἄνδρα,
Ὥς δὲ, καὶ τότε νυ Δημήτριον εὐρυκρείων
ὤτρυνεν Ἑρκούλιος· πλείω ἐπὶ καὶ μείζω
ἔργα μετὰ Λούπου βιότοιο τελευτὴν· ἠμὲν
τοῖσι θεοῖσιν οἷσιν εὔχετο οὔ τοι ἐοῦσιν
ἠδὲ ᾗ κεφαλῆφι ἀεικέα λοιγὸν ἐγείρας·
ἔνθα ὅσσα ἔοργας ὦ Δημήτριε καινὰ
ἔργα, οὔ τοι μερόπεσσιν ἐοικότα σῖτον ἔδουσιν·
οἷος γάρ κεν ἀθάνατος τάδε μηχανόωτο,
οὔτοι ὀΐω οὐδὲ ἔλπομαι ᾧ ἐνὶ θυμῷ·
σεῦ ἀπάνευθεν ἐξερέειν κατὰ μοῖραν ἕκαστα.
Τῷ τοι, καὶ σὲ μάκαρ ἐπιτάρροθον εὔχομαι ἐλθεῖν·
σήν τε χέρα κρατερὴν· σὺ δὲ κλῦε μὲν καὶ κατάνευσον·
αὐτὰρ Λεόντιον ἄλλων πρῶτον, ἐμοῖς ἐπέεσσιν
ᾄσω. Τοὶ σέο δῖε λελάχασιν ἵλεω εἰνὶ
δεινοῖσι καλέοντες· σὺ δέ τε ἤπιον εἶδες·

Ὁ γὰρ νόσῳ δαμεὶς ἀργαλέηφι γυῖα καλὰ
μακροῖσιν ἐνιαυτοῖσιν, ἀπὸ δὲ σθένος ἄρθρων
ὀλέσας, λίσσετο μὲν ὅ γ’ ἰητῆρας, ἄτην
ὧν μελέων ἄπο αἰρεῖν πρό δ’ ἔτεινεν
ἀγλαὰ δῶρα·
αἴ κεν ἴδοι χρόα καλὸν ἄπο λώβης ἀλεγεινῆς
τοῖσι δὲ πρόφροσι πάντα κινοῦσι μήδεα τέχνης
καί τε ἀρίστοις περ καὶ ἀμύμοσιν ἔμπης ἐοῦσιν,
οὔ τοι εἶκε μένος νόσου δεινὸν ἀναιδέος αὐτὰρ,
ὃ κεῖτ’ ἐν λεχέεσσιν ὀδυρόμενος καὶ ἀχεύων
οἵ δ’ ἀπέειπόν οἱ ὑγίειαν ἰητῆρες
ἱμερόεσσαν· φάντο δ’ οὔ τοι δηρὸν ὄψεσθαι
ἐλαμπρὸν φάος ἠελίοιο μινυνθάδιον γὰρ

117 ἀεικέα – ἐγείρας] cf. e. g. Hom. *Il.* (Allen 1.397–8) εὐχομένης, ὅτ’ ἔφησθα κελαινεφέϊ Κρονίωνι / οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,

111 χωόμενος] χοώμενος BM: Dietz correxit **112** παπταίνων] παπταίνον BM: correxi **116** οἷσιν] οἷσι M **121** οὔτοι] ἤτοι, in marginale scripsit M **127** δεινοῖσι] δεινοῖσιν Pseutonkas | εἶδες] post εἶδες spatium circa. 5 versorum habet MB **135** ἐοῦσιν] ἐοῦσι M **140** ἐλαμπρὸν] ἓ λαμπρον Pseutonkas

ἥξειν ὑπὸ τάφον ἠερόεντα· οἵ δ’ ἐπεὶ οὖν
οἶτον ἐμαντεύσαντο κακὸν οὐδέ τι μῆχος
ἦν μιν ἀλύξαι μετα θνητοῖσιν ἀνθρώποισι.
Τόφρα τοι καὶ Λεόντιος, μῆτιν ἐμήσατο πυκνὴν
καλὴν· ἐχέφρονα· κερδαλέην ἥτις ὤνησε.
Ταῦτα δέ τε ὃ φίλον προτὶ ὃν διελέξατο θυμὸν·
«Εἶμι ποτὶ χῶμα Δημητρίου κυδαλίμοιο
ὁ δὲ μείλιχός ἐστι καὶ ἤπιος ἠδ’ ἐλεήμων
Χριστοῦ δέ τε βασιλείης μάρτυρος εὔχεται εἶναι
τὸν εἰ γουνάσομαι, σάφα ἔλπομαι ὡς ἐλεήσει·
ἤπιοι δέ τε πάντες ἑταῖροι παμβασιλῆος
τῷ γὰρ ἴκελλοί εἰσι· τῷ καὶ θεοὶ καλέονται.»
Ὣς ἦ Λεόντιος· ἥνδανε δέ τι ταῦτα θυμῷ·
ἐκ δέ τε νυ τετέλεστο ἔργα καὶ ἐλέξατο στείνων
τύμβῳ ἐν εὐώδει· μυρόεντι αἱματόεντι
ᾗ κρύπτο ἥρως, ἠύτε ἠέλιος ὑπ’ ὀμίχλην.
Αὐτὰρ στείνων, δακρυόεντα μῦθον ἔειπε·
«Δῖε ὦ Δημήτριε Χριστῷ φίλε θεοειδὲς
ἅψεα λῦσε νοῦσος· κῆρ δ’ ἀπο φίλον ἐλαύνει·
οἶτος ἐγγὺς· πικρὸν δέ τε ἦμαρ ἱκάνει·
σὺ δὲ μείλιχος ἔπλευ καὶ ἤπιος· ἀλλ’ ἐλέησον.»
Ὣς ἦ Λεόντιος ἐκ δ’ ἐλέαιρεν ἠπιόδωρος·
νοῦσον μὲν ἤλασε· γυῖα δ’ ἔθηκεν ἐλαφρὰ·
ἐκ δέ τε μένος ὤπασε καὶ βίην, ᾗ πρὶν ἐπῆεν·
ὦκα ῥηιδίως οὐδὲ δήθυνε τύμβῳ ἀχεύων·
ἆλτο δ’ ἐκ λεχέων ὃ γηθόσυνος ἔλαφος ὣς.
Χάρμα τι καγχαλόων τό νυ δῶκεν ἠπιόδωρος·
αὐτὰρ ὃ κομιδὴν ἀποτίνων ἥν τ’ ἐπέοικεν,
ὄφρα καὶ ὀψίγονοι γνώωσι μέρμερα ἔργα,
νηὸν ἱδρύσατό νυ Δημητρίῳ θαῦμα ἰδέσθαι·
κάλλιστόν τε μέγιστόν τε περὶ τύμβον ἐλάσας·
ἀμφοτέροισι Λεοντίῳ τε καὶ ἥρωι κῦδος
ἄσπετον· ἦτοι ὁ μὲν, ὣς ἀλεύσατο λώβην ἔπειτα,
καὶ τὸ μήσατο Ἰλλυριῶν ἀρχὸς ἀγανόφρων,
ὀστέα συλήσειν Δημητρίου κυδαλίμοιο

---

146 Ταῦτα – θυμὸν] cf. e. g. Hom. *Il.* (Allen 11.407) ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;

---

143 ἀλύξαι] ἀλῆξαι MB: correxit Pseutonkas **164** μένος] μόνος Pseutonkas **166** ὃ] ὁ Pseutonkas **171** τύμβον] τύμφον B **173** ὣς] scripsi: ὃς BM | ἔπειτα] verbum ἔπειτα initio versu scr. B **175** κυδαλίμοιο] post κυδαλίμοιο spatium 2 versorum habent MB

βωμὸν ἀναστήσαντα καὶ στήλην εἶδος ὁμοίαν·
ὅ δ’ ἀνένευε· δίδαξε δέ μιν τόδε νήδυμος ὕπνος.
Αὐτὰρ ἔπειτα Λεόντιος


ἐν δὲ ὄχεσφιν ἔβη· σὺν δ’ εἶχε ψέλλια καλὰ·
ἐκ δ’ ἔλα πρὸς πάτρην· ἤπειγε γὰρ ἔρως οἰκείων·
ἀλλ’ ὅτε δὴ δινήεντα ποταμὸν ἵκανεν
Ἴστρον, τῷ δ’ ἄγριον ὤρνυτο ῥεῖθρον οὔρεσιν ἶσον·
μαίνετο δ’ ἐν ὄχθησιν, ὤτρυνε γάρ μιν ὥρη.
Χειμὼν γὰρ ἔτ’ ἔην κρυόεις ἔνθα τοι πάντες
ποταμοὶ πλήθουσι μεῖζον δέ τε ἵεται ῥεῖθρον,
οὐδέ τ’ ἔα πεζὸν ἐπιβήμεναι ἠδὲ περᾶσαι,
ὁ μὲν ἧστο παρ’ ὄχθαις ἀχνύμενος περὶ θυμῷ,
ὅττι νυ στῇ πορείης· ἕλε γὰρ ἔρως οἰκείων.
Αὐτάρ μιν Δημήτριος ᾤκτειρε θεοειδής·
ἶκε δὲ ὄναρ εὕδοντα καὶ ἐπέτελλε μύθῳ.
«Ξεῖνε Λεόντιε· τίη νῦν ἀκαχίζεαι θυμῷ;
ἔγρεο· ἤτοι τίη νυ ποταμὸν ἀλεείνεις;
Ἀλλ’ ἐγώ σοι τὰ κελεύω· σὺ δ’ ἔνθεο σῷ ἐνὶ θυμῷ.
Ἔγρεο· αὐτὰρ ἔχε χείρεσσιν ἀγλαὰ δῶρα
        ἠδὲ χλαῖναν αἱματόεσσαν·
τὴν μὲν ἕλεν ἀπο Λοῦπος ἀμύμων τοῖσι πίσυνος,
βῆθ’ ὀχέεσσιν· ἔχε δ’ ἐπι νύ τοι ῥέεθρον ἵππους.
Ἴστρος αἰδέσεται ἐμὸν αἷμα· ἄγξει δὲ ῥεῖθρον·
θάρρει Λεόντιε· μηδέ τι δείει ἔχηαι θυμόν.»
Ταῦτα ὁ μὲν ἐπέτελλεν· ὅ δ’ ἐτέλεσεν ἐφετμάς.
Ἰλλυριῶν ἀρχὸς ἀγανόφρων· βῇ δ’ ἐπὶ ῥείθρων·
Ἴστρος δὲ ῥέεν ἠύτ’ ἔλαιον ὑπὸ ὀχέεσσιν.
Ὃ γὰρ ἐστόρεσε Δημήτριος ἠπιόδωρος·
ὁ δὲ περάσας, καγχαλόων ἵκανεν ὄχθην·
ἦμος δὲ πάτρην ἤλυθεν ἱμερόεσσαν,
οὔ τοι ὃ Δημητρίου λήθετο μερμέρων ἔργων·
ἀλλὰ Θεὸν ὣς ἔτισεν αὐτὰρ ἔπειτά οἱφι
νηὸν ἱδρύσατο καὶ στήλην εἶδος ὁμοίαν.
Τὸ· μὲν πρῶτον ἔρεξε μέγα Δημήτριος ἔργον.

---

178 Λεόντιος] post Λεόντιος spatium 2 versorum habent MB **184** γὰρ] om. B **197** βῆθ’] βῆ τ’ Pseutonkas

Abbildungen

https://doi.org/10.1515/9783110711561-003




1. Codex Palat. Gr. 211, fol. 85[v], © Biblioteca Apostolica Vaticana


1. Codex Palat. Gr. 211, fol. 86r, © Biblioteca Apostolica Vaticana

2. Codex Palat. Gr. 211, fol. 86[v], © Biblioteca Apostolica Vaticana


2. Codex Palat. Gr. 211, fol. 87[r], © Biblioteca Apostolica Vaticana



3. Codex Meteorensis Gr. 202, fol. 96r,
© Ἱερὰ Μονὴ Βαρλαάμ, Μετέωρα



4. Codex Meteorensis Gr. 202, fol. 178r,
© Ἱερὰ Μονὴ Βαρλαάμ, Μετέωρα




5. Codex Meteorensis Gr. 202, fol. 186r, © Ἱερὰ Μονὴ Βαρλαάμ, Μετέωρα


6. Codex Meteorensis Gr. 202, fol. 186^{v}, © Ἱερὰ Μονὴ Βαρλαάμ, Μετέωρα

7. Codex Meteorensis Gr. 202, fol. 187ᵛ, © Ἱερὰ Μονὴ Βαρλαάμ, Μετέωρα

8. Codex Vat. Gr. 632, fol. 92v, © Biblioteca Apostolica Vaticana



8. Codex Vat. Gr. 632, fol. 93r, © Biblioteca Apostolica Vaticana



9. Codex Monacensis Graecus 624, fol. 281v, © Bayerische Staatsbibliothek München

10. Codex Parisinus Graecus 1213, fol. 83v, © Bibliothèque nationale de France

11. Codex Monacensis Graecus 624, fol. 336[r], © Bayerische Staatsbibliothek München


12. Codex Burneianus Gr. 75, fol. 157v, © British Library Board

13. Codex Parisinus Graecus 1248, fol. 173[r], © Bibliothèque nationale de France

14. Codex Matritensis Gr. 4672, fol. 146ʳ, © Biblioteca Nacional de España

15. Codex Graecus Metochion Panagiu Taphu 446, fol. 114v, © Εθνική Βιβλιοθήκη Ελλάδος

15. Codex Graecus Metochion Panagiu Taphu 446, fol. 115r, © Εθνική Βιβλιοθήκη Ελλάδος



16. Codex Mosqu. Sinodalis Graecus 336 (Vlad. 213), fol. 175^{v}, © State Historical Museum, Moscow

16. Codex Mosqu. Sinodalis Graecus 336 (Vlad. 213), fol. 176^{r}, © State Historical Museum, Moscow

17. Codex Mosqu. Sinodalis Graecus 337 (Vlad. 252), fol. 75v, © State Historical Museum, Moscow

76.

17. Codex Mosqu. Sinodalis Graecus 337 (Vlad. 252), fol. 76ʳ, © State Historical Museum, Moscow

Indices

https://doi.org/10.1515/9783110711561-004

Index der Personen- und Ortsnamen

Griechischer Index